Martyres IV
X692
P.b.182/1
P.b. 183/2

Ἑρμούπολις 1865

# ΑΚΟΛΟΥΘΙΑ

καὶ ὁσίου ἡ θεοφόρου Στυλιανοῦ τοῦ Παφλαγόνος

Μαρτυρες 4
ἐν Κρήτῃ

1865

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἀκολουθία τῶν ἁγίων τεσσάρων
νέων τοῦ Χριστοῦ μαρτύρων [ ] →
καὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς
ἡμῶν Στυλιανοῦ τοῦ Παφλαγόνος
πρὸς δὲ καὶ μεγαλυνάρια ψαλλό-
μενα εἰς θεομητορικὰς ἑορτὰς
[Σ] Εκδοθέντα νῦν τὸ πρῶτον ὑπὸ
ΣΠ. ΕΥΘΥΜΙΑΔΟΥ τοῦ ἐκ Βλάτσης
τῆς Μακεδονίας

Ἐν Ἑρμουπόλει Σύρου
τύποις Γ. Μελισταγοῦς Μακε-
δόνος
1865

artyres IV
Ἑρμούπολις 1865
Χ 692
P.b.182/1
P.b. 183/2
Καὶ ὁσίου ἡ θεοφόρου Στυλιανοῦ τοῦ Παφλαγ...
[1824]
Καὶ ὁσίου Στυλιανοῦ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ

ΑΓΙΩΝ ΤΕΣΣΑΡΩΝ ΝΕΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ

## ΑΓΓΕΛΗ, ΜΑΝΟΥΗΛ, ΓΕΩΡΓΙΟΥ ΚΑΙ ΝΙΚΟΛΑΟΥ

ΤΩΝ ΕΝ ΡΕΘΥΜΝΗ ΤΗΣ ΚΡΗΤΗΣ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ,

Ψαλλομένη τῇ ΚΗʹ. Ὀκτωβρίου.

ΕΝ ΤΩι ΕΣΠΕΡΙΝΩι, στιχηρὰ προσόμοια

Ἦχος αʹ.

Τῶν Οὐρανίων Ταγμάτων.

ΝΥΝ ἡ σεβάσμιος μνήμη τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια, τοὺς ἄθλους καὶ τὰς λαμπρὰς, ἀριστείας ἐν ᾄσμασιν, ἐν τῇ παρούσῃ ἑσπέρᾳ, καὶ τῃ νυκτὶ, Ἀγγελῆ ἀθλητικώτατε.

Ἀποτμηθεὶς διὰ ξίφους, πάσας ἐξέτεμες, τὰς μηχανὰς τοῦ πλάνου, καὶ δολίου τυράννου, ὦ Μανουὴλ, θεόφρων· διὸ τοὺς πιστῶς τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι τῶν τούτου παγίδων, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις ἱκεσίαις σου.

Ἐπὶ τῇ μνήμῃ προθύμως, δεῦτε συνέλθωμεν, τοῦ θείου Γεωργίου, καὶ λαμπρῶς εὐφρανθῶμεν, αὐτὸς γὰρ ἑστιάτωρ ὑπάρχει ἡμῖν τοῖς πιστῶς προσιοῦσιν αὐτῷ, καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεὸν, ἱκεσίαις αὐτοῦ πάντοτε.

Τῶν οὐρανίων τὰ κάλλη ποθήσας ἔνδοξε, ὡς τῷ Χριστῷ συνεῖναι, μετ' Ἀγγέλων ἁγίων, παντοίας τὰς βασάνους ὑπέστης στεῤῥῶς, νεομάρτυς Νικόλαε, καὶ μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ συνευφραίνῃ τοῖς συνάθλοις σου.

Δόξα, ἦχος βʹ.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον τῶν ἀθλοφόρων, ὦ φιλέορτοι· δεῦτε εὐφημήσωμεν αὐτοὺς, ἐν ᾠδαῖς καὶ ὕμνοις λέγοντες· Χαίρετε Ἀγγελῆ, Μανουὴλ, Γεώργιε καὶ Νικόλαε· χαίρετε οἱ τὴν πλάνην τῶν ἀπίστων ἐλέγξαντες, καὶ Χριστὸν τὸν Κύριον, Θεὸν, καὶ Κτίστην τοῦ παντὸς, ἐνώπιον τυράννων κηρύξαντες,

ἀλλ᾽ ὦ νεομάρτυρες τετράριθμοι, μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν.

**Π**αρῆλθεν ἡ σκιὰ τοῦ νόμου.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν, εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, στιχηρὰ ἰδιόμελα, ἅπερ ἐποιήθησαν παρὰ Νικολάου Σταυράκη.

Ἦχος α᾽.

Εὐφραίνεται ἐν Κυρίῳ πόλις ἡ Ῥέθυμνα, ἡ τὰ θεῖα τῶν τετραρίθμων μαρτύρων λείψανα κεκτημένη, Ἀγγελῆ, Μανουὴλ, Γεωργίου καὶ Νικολάου· οὗτοι γὰρ οἱ μακάριοι πρὸς τὸν τοῦ μαρτυρίου ἀγῶνα ὁρμήσαντες, ἀνδρείως ὑπῆλθον πρὸς τὸ στάδιον, μηδόλως φειδόμενοι τοῦ γηΐνου αὐτῶν σώματος· διὸ καὶ ὁ τῶν ἁπάντων Δεσπότης στεφάνοις ἀμαραντίνοις, ὡς νικητὰς αὐτοὺς ἔστεψε, καὶ τὴν ἀκένωτον αὐτοῖς χάριν τῶν θαυμάτων πεπλούτηκεν, ἣν καὶ παρέχουσι πᾶσιν ἡμῖν τοῖς πιστοῖς τοῖς ἐκ πόθου τὴν μνήμην αὐτῶν ἑορτάζουσι.



Ἦχος β᾽.

Μαρτύρων καλλονὴ, τετράριθμοι τοῦ Χριστοῦ νεομάρτυρες, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις ὑμῶν, προκόπτειν ἡμᾶς ταῖς ἀρεταῖς καταξιώσατε, ὡς παῤῥησίαν ἔχοντες πρὸς αὐτόν. Ὃν τῇ ἐκχύσει τῶν ὑμῶν τιμίων αἱμάτων, ἐδοξάσατε· διὸ παριστάμενοι τῷ θρόνῳ αὐτοῦ, αἰτήσασθε δοθῆναι πᾶσιν ἡμῖν, τοῖς τῷ ἱερῷ ναῷ τῆς Παναγνου ἀθροισθεῖσι καὶ τὴν ἁγίαν μνήμην ὑμῶν φαιδρῶς ἑορτάζουσιν, ἁμαρτιῶν συγχώρησιν, ϗ τελείαν ἀπαλλαγὴν, τῶν ἀθέων τυράννων, ὧν τὰ ὀστᾶ παρὰ τὸν ᾅδην, ἅγιοι, σκορπισθείησαν.

Ἦχος γ᾽.

Νέοι μὲν ὑπάρχοντες τῷ σώματι, γηραιοὶ δὲ τῷ φρονήματι, ἀθλοφόροι τετράριθμοι μάρτυρες ἀνδρείως ηὐτομολήσατε πρὸς τὸ στάδιον ἔνδοξοι, περιφραξάμενοι αὐτούς, θώρακι θείῳ τῆς πίστεως, ϗ τῇ τῆς χάριτος ἀσπίδι· ϗ τῷ τοῦ Σταυροῦ δόρατι, ἅτινα εἰσὶν ἀκαταμάχητα ὅπλα, δι᾽ ὧν τῶν ἀθέων τυράννων, τὸ θράσος κατεβάλετε καὶ πρὸς τῷ θρόνῳ τῷ δεσποτικῷ ἀεὶ παρίστασθε· χαριζόμενοι πλουσίαν τὴν ἀκένωτον χάριν, τοῖς ἑορτάζουσιν, ἅγιοι, τὴν πανέορτον καὶ σεβάσμιον μνήμην ὑμῶν.

Ἦχος δ᾽.

Ἀθλοφόροι τετράριθμοι τοῦ Χριστοῦ νεομάρτυρες, τοῖς τῶν αἱμάτων ῥείθροις ὑμῶν διὰ πολυτρόπων βασάνων, τὰ καρτερικὰ ὑμῶν σώματα ἐκδόσαντες ἀδαμάντων στεῤῥότεροι, τῇ ὑπομονῇ ἐδείχθητε. Ὅθεν ἀξίως παρὰ Θεοῦ ἐδοξάσθητε, ὡς ἐν Εὐαγγελίοις γέγραπται, παρ᾽ οὗ καὶ ἐκπέμπετε, ὀρθοδόξοις τὰ ἰάματα, τοῖς ἐκ πόθου ἑορτάζουσιν, ἅγιοι, τὴν σεβάσμιον καὶ πανίερον μνήμην ὑμῶν.

Ἦχος πλ. δ᾽. Ῥεθύμνης καὶ Αὐλοποτάμου Καλλινίκου.

Ἡ Ῥέθυμνα σήμερον πᾶσα ἀγάλλεται, ἑορτάζουσα τοὺς ἀγῶνας τῶν τεσσάρων αὐτῆς μαρτύρων· οὗτοι γὰρ διὰ Χριστὸν τὸ αἷμα αὐτῶν προθύμως ἐξέχεαν, καὶ τὴν πατρῴαν πίστιν αὐτῶν, τρανῶς τοῖς τυράννοις ὡμολόγησαν, διὸ καὶ τοὺς στεφάνους, παρὰ Χριστοῦ, τοῦ Θεοῦ, ἀξίως λαβόντες, πρεσβεύουσιν ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. α᾽.

Ἀβρύνεται σήμερον ἡ Ῥέθυμνα, τοῖς αἵμασι φοινιχθεῖσα, τῶν νέων τοῦ Χριστοῦ μαρτύρων, καὶ τὰς τιμίας αὐτῶν κάρας, ὡς θησαυρὸν πλουτοῦσα, βοᾷ ἐν εὐφροσύνῃ, γενναῖοι Χριστοῦ νεομάρτυρες, Μανουὴλ, Γεώργιε, Ἀγγελῆ καὶ Νικόλαε, μὴ παύσητε πρεσβεύειν πρὸς Κύριον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν.

**Μ**ακαρίζομέν σε Θεοτόκε Παρθένε.

ΑΠΟΣΤΙΧΑ, ἦχος δ᾽.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Τετρακτὺν τὴν ὑπέρτιμον, τῶν μαρτύρων τιμήσωμεν, ἐν ᾠδαῖς καὶ ᾄσμασιν, ἑορτάζοντες, τὸν Μανουὴλ καὶ Νικόλαον, Γεώργιον ἅμα τε καὶ τὸν θεῖον Ἀγγελῆ, τοὺς στεῤῥῶς ἐναθλήσαντας, καὶ αἰσχύναντας, τὴν ὀφρὺν, καὶ τὸ θράσος τοῦ Βελίαρ, τῇ δυνάμει τοῦ Σωτῆρος, καὶ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Εὐθαρσῶς κατῃσχύνατε τὴν δυσέβειαν, μάρτυρες, αἰκισμοὶ, ϗ βάσανοι γὰρ οὐκ ἔσεισαν τὸ σταθερὸν τὸ τῆς πίστεως, ὑμῶν, νεομάρτυρες, παῤῥησίᾳ δὲ Χριστῷ ἐκραυγάζετε ἅγιοι, τὰς ψυχὰς ἡμῶν, ὡς θυσίαν πρόσδεξαι, πανοικτίρμων, πανευώδη, καὶ μαρτύρων χοροῖς ἡμᾶς συναρίθμησον.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τὰ τῆς Λάμπης βλαστήματα, καὶ Ῥεθύμνης στηρίγματα, καὶ Κρητῶν ἀμάραντα ἀγλαΐσματα, τοῦ Παραδείσου οἰκήτορας, τὰ ἄνθη τὰ τίμια, τὰ εὐπρόσδεκτα Χριστοῦ, καὶ τερπνότατα σφάγια ἀναθήματα, οὐρανίου ναοῦ τε τὴν τετράδα, τῆς Τριάδος τὴν ἁγίαν, μετ᾽ εὐλαβείας ὑμνήσωμεν.

Δόξα, ἦχος πλ. δ᾽.

Δεῦτε φίλαθλοι τὴν τετραυγῆ τῶν μαρτύρων χορείαν, ἐν ᾠδαῖς καὶ ὕμνοις εὐφημή-

σωμεν, Μανουὴλ τὸν θεῖον, καὶ Ἀγγελῆ τὸν ἀοίδιμον, Νικόλαον καὶ Γεώργιον, τοὺς θεόφρονας· ὅτι αἵματα ἔδωκαν, καὶ ὠνήσαντο τὴν αἰώνιον ζωήν· διὸ καὶ καρτερικῶς ἀντέλεγον τοῖς ἀπίστοις ἐχθροῖς, οὐ προκρίνομεν τὰ φθαρτὰ τῶν ἀφθάρτων, τὴν πίστιν τὴν ἔνθεον οὐκ ἐξαρνούμεθα, τὸν Κύριον ἡμῶν, καὶ Θεόν, οὐκ ἐγκαταλείψομεν, τὸν ἀεὶ βοῶντα τοῖς πιστοῖς, ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται. Καὶ νῦν.

Τὰ οὐράνια ὑμνεῖ σε.

ΑΠΟΛΥΤΙΚΙΟΝ, ἦχος δ'.

Ποίημα Μελετίου Κρήτης.

Τὴν πίστιν σεβόμενοι τὴν ἀληθῆ εὐσεβῶς, Χριςὸν ἐκηρύξατε, ἐπὶ ἀπίστων στεῤῥῶς, τετράριθμοι μάρτυρες· ξίφεσι τοὺς αὐχένας ἀπετμήθητε πόθῳ, ὅθεν τοῖς τῶν μαρτύρων ἠριθμήθητε δήμοις, καὶ νῦν ταῖς ἱκεσίαις ὑμῶν ῥύσασθε κινδύνων ἡμᾶς.

Ἕτερον ποίημα Ῥεθύμνης καὶ Αὐλοποτάμου Καλλινίκου.

Τῆς Κρήτης γεννήματα καὶ Λάμπης θρέμματα, τοὺς τετραρίθμους νεομάρτυρας, ἀνευφημήσωμεν, Γεώργιον, Ἀγγελῆ, Μανȣὴλ καὶ Νικόλαον· οὗτοι γὰρ διὰ πίστιν τοῦ Κυρίȣ σφαγέντες, τὸ αἷμα αὐτῶν ἐθελουσίως ἐν τῇ Ῥεθύμνῃ ἐξέχεαν, διὸ καὶ παῤῥησίαν ἔχοντες πρὸς Χριςὸν πρεσβεύουσιν ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ, μετὰ τὴν ά. ςιχολογ.

Κάθισμα, ἦχος πλ. ά.

Τὸν Συνάναρχον Λόγον.

Ἀρετῶν ταῖς ἰδέαις καταστραπτόμενοι, μαρτυρίου τῷ φέγγει ὡραϊζόμενοι ὑπὲρ ἥλιον σαφῶς ἐκλάμπετε ἀοίδιμοι, καὶ φωτίζετε σοφοί, τοὺς ἐκτελοῦντας εὐλαβῶς, τὴν μνήμην ὑμῶν τὴν θείαν, τετράριθμοι ἀθλοφόροι, καὶ προσκυνοῦντας ὑμῶν τὰ λείψανα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

Ἕτερον μετὰ τὴν β'. στιχολογ. ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ νεομάρτυρες Χριςοῦ οἱ γενναῖοι, ἀγωνισάμενοι καλῶς τὸν Βελίαρ, ὁλοτελῶς ἐβύθισαν αἱμάτων ταῖς ῥοαῖς· δέσμιοι γὰρ ἤχθησαν, ϗ εἱρκτῇ συγκλεισθέντες, ξίφεσιν ἐτμήθησαν κεφαλὰς θαρσαλέως, στεφανηφόροι ὤφθησαν διό, καὶ τοῖς μαρτύρων χοροῖς ἠριθμήθησαν.

Δόξα τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Οὐ σιωπήσωμεν ἀεὶ Θεοτόκε, τοῦ εὐχαρίςως ἀνυμνεῖν ἐκ καρδίας, τὰ σὰ ἐλέη, Δέσποινα, οἱ δοῦλοι σου, κράζοντες καὶ λέγοντες, Παναγία παρθένε, πρόφθασον, καὶ λύτρωσαι ἐξ ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν, καὶ πάσης ἀπειλῆς, σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Μετὰ τὸν Πολυέλεον. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ Κρήτη πᾶσα, τὴν σεπτὴν πανήγυριν τῶν τετραρίθμων ἀθλητῶν, μετ' εὐλαβείας κραυγάζουσα· Χαίρετε νέοι Χριςοῦ ὁπλῖται πανένδοξοι.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον

Προστασία ἄμαχε τῶν ἐν ἀνάγκαις, τοὺς σοὺς δούλȣς λύτρωσαι, ἐκ τῶν δεινῶν Ἀγαρηνῶν, πρὸς σὲ γὰρ πάντες ἐλπίζομεν, καὶ μὴ παρόψῃ ἡ πάντων βοήθεια.

Οἱ Ἀναβαθμοί· τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Σίχ. Θαυμαστὸς ὁ Θεός.

Σίχ. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Εὐαγγέλ. Ζήτει εἰς τὸν Ὄρθρον τοῦ ἁγ. Γεωργίȣ

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, προσέχετε ἀπὸ τῶν ἀνθρώπων κ.τ.λ. Δόξα, Ταῖς τῶν ἀθλοφόρων πρεσβείαις Ἐλεήμων. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Ἐλεήμων ἐλέησόν με ὁ Θεός· καὶ τὸ παρὸν

Ἰδιόμελον, ἦχος πλ. β'.

Σήμερον ἡ τετραυγὴς τῶν μαρτύρων ὁμήγυρις, ὡς σελασφόρων ἀςέρων συνέλευσις



τοὺς πιςοὺς σελαγίζουσα, πρὸς μυστικὴν εὐφροσύνην ἐκάλεσε· σήμερον γάρ, Ἀγγελῆς καὶ Μανουήλ, Γεώργιός τε καὶ Νικόλαος οἱ τοῦ Χριςοῦ νέοι μάρτυρες, ἐκέρασαν πλήρη, τὸν ἀθλοφορικὸν αὐτῶν κρατῆρα, καὶ τοῖς διὰ Χριςὸν ἐκχυθεῖσιν αἵμασιν, ἑαυτοὺς ἔςεψαν, ἡμᾶς προτρεπόμενοι, τοὺς εὐσεβείας ἐραστάς, πρὸς ἑςίασιν τῶν ἀγώνων αὐτῶν· πρὸς αὐτοὺς οὖν βοήσωμεν, μὴ παρασιωπήσητε τοῦ βοᾷν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου κτλ.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὁ Κανὼν τῆς Θεοτόκου εἰς δ'.

Ὠδὴ ά. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Πολλοῖς συνεχόμενος πειρασμοῖς.
Παθῶν με ταράττουσι προσβολαί.
Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν.
Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν.

Ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς· Δόξα κροτείσθω, Χριστέ, ἡ τῶν μαρτύρων.

(Ὁ Κανὼν οὗτος ἐστὶ ποίημα Ῥεθύμνης καὶ Αὐλοποτάμου Κ. Κ. Καλλινίκου).

Ἦχος β'. Δεῦτε λαοί.

Δεῦτε πιςοὶ ἅπαντες χεῖρας κροτήσωμεν, καὶ θεοφθόγγοις ᾄσμασι πανηγυρίσωμεν τῶν τεσσάρων μαρτύρων τοὺς ἄθλους, Χριστὸν δοξολογοῦντες ὅτι δεδόξασται.

Ὅπλον ἡμῖν θεῖον ἐδείχθη, καὶ καύχημα τὸ τοῦ Σωτῆρος τρόπαιον, ἡ ἀκαθαίρετος τοῦ Σταυροῦ πανοπλία, δι' ἧς οἱ τετράριθμοι μάρτυρες ἐστεφανώθησαν.

Ξίφος, βασάνους, βόθρον τε, σταυρὸν καὶ θάνατον τοῖς ἀοιδίμοις τέσσαρσι μάρτυσιν ἐπανέτειναν, οἱ τοῦ θείου διῶκται ζωὴν πρὸς τὴν ἀγήρω αὐτοὺς ἐλαύνοντες.

Θεοτοκ.

Ἄρτον ζωῆς τέτοκας τὸν ἐπουράνιον σεσαρκωμένον Πάναγνε, τὸν ἐνυπόστατον τοῦ Γεννήτορος Λόγον, διό σε καὶ οἱ τέσσαρες μάρτυρες δοξάζουσι.

Ὠδὴ γ'. Οὐρανίας ἁψίδος.

Προστασίαν καὶ σκέπην.
Ἱκετεύω Παρθένε.
Εὐεργέτην τεκοῦσα.
Χαλεπαῖς ἀῤῥωστίαις.

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας.

Καθεῖλον οἱ ἐν Ῥεθύμνῃ τέσσαρες μάρτυρες, τῷ πάθει σου τῷ θείῳ, δυναμωθέντες τῆς πλάνης τὴν σκοτόμαιναν, ἐν πίστει κράζοντες, σὺ εἶ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε.

Ῥανίσι θείου αἵματος ῥαντισθέντες, τυράννου βδελυξάμενοι ἀνομίαν, θυσία προσηνέχθητε τῷ Κυρίῳ, ἐκκοπτόμενοι καὶ πίστει κράζοντες, ὡς οὐκ ἔςιν ἅγιος, πλήν σου Κύριε.

Ὅλον σε κεκτημένοι οἱ τετράριθμοι, ταῖς ἑαυτῶν καρδίαις, ἐνοικισθέντα, τρανοῦντες τὴν εὐσέβειαν, ἀνεβόων· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔςι δίκαιος πλήν σου Κύριε.

Θεοτοκ.

Τὴν μόνην παρθενεύουσαν μετὰ τόκον, πρὸς πίςιν τῆς θεότητος, τοῦ τεχθέντος, τιμῶμεν σε κραυγάζοντες τῷ υἱῷ σου, οὐκ ἔςιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Γόνοι ἔντιμοι τῆς Λάμπης ἦτε· στύλοι ἄσειςοι Ῥεθύμνης, ἅμα θεῖοι πύργοι αὐτῶν ἐνυπάρχετε· τῆς μὲν γὰρ κλάδοι σεπτοὶ ἀνεδείχθητε, τὴν δὲ τοῖς ὑμῶν ἐφοινίξατε αἵμασι, νέοι μάρτυρες Χριςὸν ἱκετεύσατε, τοῦ περιέπειν αὐτῶν τὴν εὐσέβειαν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θαῦμα μέγιςον πῶς συνεσχέθη ὁ ἀχώρητος ἐν τῇ γαςρί σου, καὶ ἐσαρκώθη, καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν τῆς θεϊκῆς ϗ ἀτρέπτου θεότητος, κόρη πάναγνε· διὸ Θεοτόκον σε πιστῶς κηρύττομεν ἀεί, καὶ δοξάζομεν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Τῶν παθῶν μου τὸν τάραχον.
Εὐσπλαγχνίας τὴν ἄβυσσον.
Ἀπολαύοντες Πάναγνε.
Οἱ ἐλπίδα καὶ στήριγμα.

Ἄλλος. Εἰσακήκοα τὴν ἀκοήν σου.

Ἐμιμήσαντο πάθος σȣ, τοῦ ἀπαθοῦς προθύμως, τῷ θανάτῳ, ἑαυτοὺς ἐκδόντες, οἱ ἐν Ῥεθύμνῃ τέσσαρες μάρτυρες, ἱκετεύοντας πρόσδεξαι τοὺς νεομάρτυρας, καὶ λύσιν τῶν πταισμάτων, πειρασμῶν τε δίδου ἡμῖν, πρεσβείαις αὐτῶν καὶ εὐχαῖς.

Σεσιώπηται ἅπασα πλάνη δαιμόνων Χριςέ· Θεὸν γάρ σε τὸν ὄντως ἀληθῆ, οἱ ἐν Ῥεθύμνῃ μάρτυρες ἀνεκήρυξαν.

Θεοτοκ.

Θεοτόκον σὲ ἔσεβον οἱ νεομάρτυρες, Θεὸν σεσαρκωμένον, τὸν Υἱόν σου, Δέσποινα, καταγγέλλοντες.

καὶ λαϊκοῖς, ποιοῦντα ἄπειρα θαύματα, καθότι ὅςις τῶν Χριστιανῶν μετὰ πίστεως παρεκάλει αὐτοὺς, ἰατρεύετο ἐξ οἱασδήποτε ἀσθενείας ἔπασχεν· δοξάζων ὁ Κύριος τοὺς ὑπὲρ αὐτοῦ ἐναθλήσαντας ἁγίους, ὧν ταῖς πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς· ἀμήν.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὴν ἡμῶν σωτηρίαν.
Θελητὴν τοῦ ἐλέους.
Σωμάτων μαλακίας.
Θησαυρὸν σωτηρίας.

Εἰκόνος χρυσῆς.

Σαρκῶν Δανιὴλ οὐ κατίσχυσαν ποτὲ λεόντων ςόματα, ἀλλ' οὐδὲ θάνατος τῶν νεομαρτύρων σου· ἐν χειρί σου γὰρ, Κύριε, ζῶσιν αἱ ψυχαὶ τῶν δικαίων ἀγαλλιῶσαι, καὶ ψάλλουσαι, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ φλὸξ τοῖς τρισὶν ἐδροσίζετο παισὶν ἐν Βαβυλῶνι ποτὲ, τοῖς νεομάρτυσι δὲ ἡ παράνομος κατεφλέγετο ἄνοια, ὅθεν τὴν ἀπάτην ὁρῶντες τεφρουμένην ἐκραύγαζον, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῷ πόθῳ, Χριςὲ, διαζέοντες τῷ σῷ οἱ νεομάρτυρες, ὥσπερ ἀνάλωτον περικείμενοι τὸ τῆς σαρκὸς περιβόλαιον, βασάνων ἀλγεινῶν κατεφρόνουν, σοὶ ἐντρυφῶντες καὶ λέγοντες· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς εὔπλοκος ἦν ὁ χορὸς τῶν ἐν Ῥεθύμνῃ νεομαρτύρων, πολυτίμητός τε καὶ θεόλεκτος τῶν ἐκλεκτῶν σου ὁμήγυρις, πνεύματι τῷ σῷ κροτουμένη, καὶ εὐρύθμως χορεύουσα, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νομίμως τῆς σῆς ὁμολογίας, εὐσεβῶς ὑπερήθλησαν ἐν Ῥεθύμνῃ, οἱ μάρτυρές σου αἰκιζόμενοι, καὶ θεοπνεύστῳ σου χάριτι, μίαν τρισυπόστατον φύσιν ὁμολογοῦντες, ἐκραύγαζον· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ ή. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους.
Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις.
Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις.
Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις.

Τὸν ἀῤῥήτῳ σοφίᾳ.

Μεμηνότων τυράννων τὴν δυσκάθεκτον μανίαν, οἱ νεομάρτυρες κατέβαλον, διαπρυσίως μελῳδοῦντες· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀνανήψατε πλάνοι, καὶ ἐπίγνωτε τὸν Κύριον, ὧπερ ὄντως οἱ ἐκ τῆς Λάμπης, ἔνδοξοι μάρτυρες, ἀνεβόων· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥητορεύειν μηδόλως μελετήσαντες, οἱ ἐν Ῥεθύμνῃ μάρτυρες, πνεύματος δὲ θείου πλησθέντες ἐβόων· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Τῶν γενναίων τούτων νεομαρτύρων, ὡραιώθησαν ἐν χάριτι, οἱ πόδες τρισυπόστατον φύσιν εὐαγγελιζομένων καὶ Θεοτόκον ὁμολογούντων· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ῥοήν μου τῶν δακρύων μὴ ἀποποιήσῃς.
Χαρᾶς μου τὴν καρδίαν.
Κακώσεως ἐν τόπῳ.
Φωτός σου ταῖς ἀκτῖσι.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὑλοτομήσαντο πάλαι τῶν εἰδώλων τὴν πλάνην, Χριστὲ ἐν ταῖς καρδίαις τῶν πιστῶν, σὺ τῷ πυρὶ τῷ τῆς πίστεως καταφλέξας μαρτύρων τῆς εὐσεβείας ἤθροισας χοροὺς, ἐπαξίως σε ὕμνοις ἀπαύστως μεγαλύνοντας.

Ῥευστὴν οἱ ἐν Ῥεθύμνῃ μάρτυρες δόξαν καὶ πλοῦτον Χριστὲ, καταλιπόντες ἐπὶ γῆς, σὲ τὸ τῆς δόξης ἀπαύγασμα, ἀναφαίρετον πλοῦτον εὑρόντες, αἰωνίως ἀγαθῶν, κληρονόμοι ἀξίως ἐν οὐρανοῖς ἐγένοντο.

Θεοτοκίον.

Ὡς ἐν ἑσπέρᾳ ἡ φύσις τῶν ἀνθρώπων, ἡ πάλαι τῆς πλάνης ὑποκύψασα ζυγοῖς σου, ὑπὲρ φύσιν τεκούσης Ἁγνὴ, τὸν πάντων Δεσπότην ὡς ἐπιγείους κήρυκας σαφῶς τῆς αὐτοῦ δεσποτείας, τοὺς νεομάρτυρας προβάλλεται.

Θεοτοκίον.

Νύμφη καὶ μήτηρ Παρθένε, τῶν ἁγίων τοὺς δήμους, τὸν σὸν καθικετεύοντας Υἱὸν, δέξαι ἡ μόνη ἐλπὶς τῶν πιστῶν, καὶ εἰρήνην τῷ κόσμῳ, καὶ εὐρωστίαν δώρησαι ἡμῖν, καὶ σωτηρίαν ψυχῆς τοῖς ὑμνοῦσι σε βράβευσον.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὁ Μανουὴλ ὁ ἔνδοξος, Ἀγγελῆς ὁ θεόφρων, Νικόλαος, Γεώργιος, τοῦ Χριστοῦ τῇ ἰσχύϊ ἐνήθλησαν καὶ τὴν



πλάνην τῶν ἀπίστων καθεῖλον, καὶ νῦν καθικετεύουσι τῇ ἁγίᾳ Τριάδι ὑπὲρ ἡμῶν, οὓς ἐν ὕμνοις ἅπαντας εὐφημοῦντες, φαιδρῶς πανηγυρίσωμεν τὴν σεπτὴν τούτων μνήμην.

Δίς.

Κενοῦται ἐν τῇ μήτρᾳ σου, ὁ πληρέσατος, κόλπων πατρῴων ἄχραντε οὐκ ἐκστὰς ἀποῤῥήτως, καὶ σὰρξ ὁρᾶται, καὶ βρέφος τίκτεται Θεοτόκε, ὃν ἐκτενῶς ἱκέτευε λυτρωθῆναι κινδύνων, καὶ πειρασμῶν, καὶ πταισμάτων Δέσποινα, καὶ γεέννης, τοὺς εὐσεβῶς κηρύττοντας τοῦ Θεοῦ σε μητέρα.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

Πᾶσα πνοὴ, ἦχος δ'.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὡς γενναίου ἐν μάρτυσι, συνελθόντες, μακάριε Ἀγγελῆ, τὴν μνήμην σου ἑορτάζωμεν· καὶ γὰρ βασάνους ὑπέμεινας, καὶ αἷμα ἐξέχεας δι' ἀγάπην τοῦ Χριςοῦ, παρ' οὗ στέφανον εἴληφας, ὃν ἱκέτευε, ἐκ παντοίων ῥυσθῆναι συμπτωμάτων, τοὺς ἐκ πόθου ἐκτελοῦντας τὴν πανοίδιμον μνήμην σου.

Μανουὴλ τε τοῦ μάρτυρος, ὡς ἀνδρείως ἀθλήσαντος, καὶ ἐχθροῦ τὴν ἔπαρσιν ταπεινώσαντος, τὴν θείαν μνήμην τιμήσωμεν, καὶ πόθῳ βοήσωμεν, νέε μάρτυς τοῦ Χριστοῦ, ὑπὲρ οὗ αἷμα κέχυκας, τούτῳ πρέσβευε, ἐκ κινδύνων ῥυσθῆναι πολυτρόπων τοὺς τιμῶντας σου τὴν μνήμην, καὶ σὲ πιστῶς μακαρίζοντας.

Γεωργὸς ὥσπερ ἄριστος, νεομάρτυς Γεώργιε, τὸ μικρὸν γεώργιον τοῦ σοῦ σώματος, σὺ καλλιέργησας ἄριστα αὐτό τε κατήρδευσας, τῶν αἱμάτων σου ῥοαῖς, καρποφόρον τε ἔδειξας, καὶ πολύγονον ἰαμάτων πληθύϊ, καὶ θαυμάτων τοῖς προστρέχουσιν ἐκ πόθου καὶ προσκυνοῦσι σε, ἔνδοξε.

Τὸν τῆς νίκης φερώνυμον τοῦ λαοῦ καὶ ὑπέρμαχον, τὸν στεῤῥὸν Νικόλαον εὐφημήσωμεν, ὅτι τὸν δρόμον τετέλεκε, τὴν πίςιν ἐκήρυξε καὶ ἐνήθλησε στεῤῥῶς δι' ἀγάπην τοῦ Κτίσαντος, ᾧ παρίσταται, μετὰ δόξης ἀπαύστως ἱκετεύων, λυτρωθῆναι, ἐκ κινδύνων, πάντας τοὺς τοῦτον γεραίροντας.

Δόξα, ἦχος πλ. ά.

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν ςησώμεθα, τῇ ἐτησίῳ πανηγύρει τῶν νέων μαρτύρων· οὗτοι γὰρ οἱ ἀείμνηστοι μηδὲν τῶν γηΐνων προτιμήσαντες, μόνον δὲ τὸν Σταυρὸν τοῦ Χριστοῦ ὡς θυρεὸν πλουτοῦντες, βασάνων κατεφρόνησαν, καὶ τὸν Χριςὸν γενναίως, Θεὸν ἀληθινὸν τοῖς ἀσεβέσιν ὡμολόγησαν, καὶ δι' αὐτὸν, τὸ αἷμα, προθύμως ἐξέχεαν· τούτους ἀνευφημοῦντες εἴπωμεν, ἀθληταὶ τοῦ Χριστοῦ γενναιότατοι, Ἀγγελῆ, Μα-

νουὴλ, Γεώργιε καὶ Νικόλαε, μὴ παύσητε πρεσβεύειν Θεῷ ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν.

Μακαρίζομέν σε.

Δοξολογία μεγάλη· εἰς τὴν Λειτουργίαν Τυπικὰ καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων Ὠδὴ γ' καὶ ς'. Ἀπόστολον· Προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ, Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Πρὸς Ἐφεσίους ἐπιστολῆς.

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει. Ζήτει Κυριακῇ κζ'. Εὐαγγέλιον δὲ ζήτει τῇ θ' Μαρτίου τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ·

Ἦχος β'.

Ποίημα Νικολάου Σταυράκη.

Τοὺς γενναίους μάρτυρας, τοῦ Χριστοῦ τέσσαρας, ἐν Κρήτῃ ὑπομείναντας καρτερῶς, τυράννων βασάνους καὶ χύσιν αἱμάτων, ἐν ὕμνοις ἐγκωμίων, πιστοί, τιμήσωμεν.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΣΤΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΜΦΛΑΓΟΝΟΣ,

Ψαλλομένη τῇ ΚΣΤ'. Νοεμβρίου.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ,

Στιχηρὰ προσόμοια.

Ἦχος δ'.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ ἐκ μητρῴας ἡγιασμένος μήτρας, τοῦ Θείου ἐγένετο Πνεύματος σκήνωμα, Στυλιανὸς ὁ μακάριος· τὸν γὰρ προσόντα πλοῦτον σκορπίσας καλῶς τοῖς πένησιν, εὗρε τὸν οὐράνιον καὶ ἀδαπάνητον, ἐν τοῖς ἁγίων σκηνώμασι, συναγελάζων δήμοις Ὁσίων καὶ εὐφραινόμενος, καὶ ἱκετεύων τὸν φιλάνθρωπον, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι ἐν τῇ θείᾳ του μνήμῃ καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ τῆς ἐρήμου λαμπτὴρ καὶ πολιοῦχος, ὅτε ταύτην ᾤκησεν, ὑπέδυ σπήλαιον, ὑπὸ ἀγγέλου δεχόμενος ἄρτον τὸν θεῖον, καὶ χάριν εἴληφε τοῦ χαρίζεσθαι, παθῶν δὲ ποικίλων τε ἰατὴρ γέγονε, τοῖς ἀσθενοῦσιν ἀφθόνως, πᾶσι τὴν ἴασιν παρεχόμενος καὶ εὐτεκνίαν ἀτεκνούσαις, καὶ ἡμῖν ἀεννάως πρὸς Κύριον ἱκετεύει τοῦ σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Τίς ἐξειπεῖν σου δυνήσεται τὰ πλήθη θαυμάτων, πανόλβιε, ἅπερ ἐτέλεσας, Στυλιανὲ παμμακάριστε, ἐν βίῳ ἔτι καὶ μετὰ σώματος πέλων, Ὅσιε· μόνον γὰρ σὸν ὄνομα ἐπικαλούμεναι, καὶ τὴν ἁγίαν εἰκόνα σου χρωματουργοῦσαι, μητέρες μάκαρ καὶ ἀτεκνοῦσαι πρὶν, εἰς εὐτεκνίαν μετεβάλλοντο, ἀλλὰ πάτερ καὶ νῦν καθικέτευε, τὸν Σωτῆρα δυσώπει καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. δ'.

Δεῦτε ἅπαντες φιλέορτοι καὶ φιλόχριστοι, σήμερον τὴν ἱερὰν μνήμην τοῦ μεγάλου πατρὸς Στυλιανοῦ τοῦ σοφοῦ ἐν ὕμνοις τιμήσωμεν· οὗτος γὰρ ἀποστολικῶς, ὡς σκύβαλα ἡγη-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σάμενος πάντα, δαβιτικῶς ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· διὸ καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς τὸν αἰῶνα μένει, ϗ τοῖς ἐκ πόθȣ τιμῶσιν αὐτὸν νέμει τὰς ἰάσεις τῶν νοσημάτων, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν.

Ὁ Βασιλεὺς τῶν Οὐρανῶν.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ.

Δόξα, ἦχος πλ. ά.

Σήμερον Ὁσίων οἱ δῆμοι σκιρτῶσι, καὶ μοναστῶν τὰ πλήθη πνευματικῶς συναγάλλονται ἐπὶ τῇ μνήμῃ τοῦ μεγάλου φωστῆρος Στυλιανοῦ τοῦ σοφοῦ· οὗτος γὰρ ἐπὶ τῆς γῆς, ὥσπερ ἄσαρκος βιώσας, πάντας ὑπερήλασε τῇ ἐγκρατείᾳ καὶ ἀσκήσει, ἐπίγειος ἄγγελος καὶ οὐράνιος ἄνθρωπος ὀφθείς. Διὸ καὶ χάριν εἴληφε παρὰ τῆς ἀενάου πηγῆς βοηθεῖν πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν πίςει νεογνοῖς καὶ νηπίοις τῶν πιστῶν· διὸ ϗ ἡμεῖς πρὸς αὐτὸν ἐκβοήσωμεν, θεράπων Χριστοῦ, ὡς παῤῥησίαν ἔχων, φύλαττε πάντας τοὺς ἐτησίως σὲ τιμῶντας παντοίων ἀπαλλάττων δεινῶν ταῖς πρεσβείαις σου πρὸς Κύριον. Καὶ νῦν.

Μακαρίζομέν σε.

Καὶ μετὰ τὴν εὐλόγησιν τῶν ἄρτων ψάλλομεν τὰ παρόντα, ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε λύμη ἡ φθοροποιὸς, αἴφνης τοῖς νηπίοις ἀφήρει, ἀποτελοῦσα οἰκτρῶς, πάσας ἀτεκνούσας μὲν, πρῴην κυούσας καλῶς, τὰς μητέρας πανόλβιε, Στυλιανὲ πάτερ· τοῦτο σὸν εἰκόνισμα χρωματεργούμενον, πάλιν εὐτεκνούσας ἐποίει, ἐπικαλουμένας τε πίστει, Ὅσιε τρισμάκαρ, θεῖον ὄνομα.

Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Ὅτε ἐκ κοιλίας μητρικῆς θείαν ἀνεδέδυσο χάριν, Στυλιανὲ, τοῦ Χριςοῦ, ὥσπερ ἄλλος Σαμουὴλ, ἁγιασμοῦ δαψιλῶς, τὴν ἐπίκȣρον ὕπαρξιν, διένειμας πᾶσαν, πένησι καὶ ἔδραμες, ζητῶν τὸν σὸν ἐραςὴν, ὅνπερ ἐπιπόνῳ ἀσκήσει, εὗρες ἀπολαύων ἀφθόνως, ἄληκτον καὶ θείαν ἀγαλλίασιν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ὅτε ἀπεμάκρυνας φυγὼν, πάτερ, τοὺς τοῦ βίου θορύβους, Στυλιανὲ, νουνεχῶς ᾤκησας τὴν ἔρημον, καὶ ἐν σπηλαίῳ εἰσδὺς δι' ἀγγέλου ἐλάμβανες οὐράνιον ἄρτον, Μάκαρ προσδεχόμενος, τὸν σώζοντά σε Θεόν· ὅθεν ἀμοιβὴν ἐκομίσω πάντων τῶν τιμώντων σε πόθῳ τὰς αἰτήσεις ἐκπληροῦν, μακάριε.

Δόξα, ἦχος πλ. β'.

Ὅσιε πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, παῤῥησίαν ἔχων πρὸς Κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν.

Θεοτόκε, σὺ εἶ ἄμπελος ἡ ἀληθινή.

## ΑΠΟΛΥΤΙΚΙΟΝ, ἦχος γ'.

Θείας πίστεως.

Στήλη ἔμψυχος τῆς ἐγκρατείας, στύλος ἄσειστος τῆς Ἐκκλησίας, Στυλιανὲ ἀνεδείχθης μακάριε· τὸν γὰρ σὸν πλοῦτον σκορπίσας τοῖς πένησιν, ἐν οὐρανοῖς ἐκομίσω τὸν ἄφθαρτον, καὶ ἐγκρατείᾳ καὶ πόνοις πανόλβιε, χάριν εἴληφας νηπίων προςάτης γενόμενος, καὶ φύλαξ νεογνῶν ἀπροσμάχητος. Καὶ νῦν.

Σὲ τὴν μεσιτεύσασαν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ, μετὰ τό, Θεὸς Κύριος,

Κάθισμα, ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἡ στήλη ἀρετῶν, ὁ κανὼν μοναζόντων, καὶ στύλος ἀῤῥαγὴς τῆς Χριςοῦ Ἐκκλησίας· κροτεῖ ταύτην τὴν σύναξιν καὶ ἁγίαν πανήγυριν, ὁ μακάριος Στυλιανὸς, δεῦτε πάντες εὐφημήσωμεν τὴν ἱερὰν αὐτοῦ μνήμην, Χριστὸν μεγαλύνοντες.



Δόξα, τὸ αὐτό. Καὶ νῦν.

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες.

Ἕτερον, ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Μακρυνθεὶς μὲν θορύβων βιωτικῶν, αὐλισθεὶς δ' ἐν ἐρήμῳ Στυλιανὲ, ςύλος ἐχρημάτισας, μοναζόντων μακάριε, Θεὸν προσδεχόμενος τὸν σὲ σώζοντα, Ὅσιε· καὶ δι' ἀγγέλȣ ἄρτον ἐσθίων οὐράνιον καὶ σπηλαίȣ ἔνδον παννυχίῳ ἐνςάσει, νηςείαις καὶ δάκρυσι τὸν Θεὸν ἱλεούμενος ἀμοιβὰς τῶν καμάτων σου, εἴληφας τὴν χάριν, σοφὲ, δαψιλῶς παρέχειν τὰ αἰτήματα τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Καὶ νῦν.

Τὴν Σοφίαν καὶ λόγον.

Οἱ Ἀναβαθμοί, τὸ ά Ἀντίφωνον.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Εὐαγγέλιον ζήτει εἰς Ὅσιον. Δόξα, Ταῖς τοῦ Παμφλαγόνος πρεσβείαις Ἐλεήμων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλεήμων ἐλέησόν με ὁ Θεός.

Ὅσιε πάτερ, ζήτει εἰς τὰ Ἀπόςιχα τοῦ Ἑσπερινοῦ. Καταβασίαι. Χριστὸς γεννᾶται.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Γυναῖκες ἀκουτίσθητε.

Πλοῦτον τὸν σὸν ἐσκόρπισας, Στυλιανὲ τοῖς πένησιν, ἁγιασθεὶς ἐκ κοιλίας τῆς μητρικῆς θεοφόρε, διὸ καὶ τὸν οὐράνιον, ἀντὶ προσκαίρȣ εἴληφας, καὶ χάριν τῶν ἰάσεων περιφρουρεῖν τε καὶ σκέπειν τὰ νεογνὰ θεοφόρε. Δίς.

Μαρία καθαρώτατον χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον ἐπισκιάσαν σοι, Κόρη, ἀνέδειξε Θεοτόκον.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

Ἦχος ά. Τῶν Οὐρανίων Ταγμάτων.

Ἁγιασθεὶς ἐκ κοιλίας μητρὸς πανόλβιε, ἀσκητικὴν προείλου βιοτὴν θεοφόρε, πάντα τὰ ἐν κόσμῳ δοκοῦντα τερπνὰ ἀποβαλὼν, καὶ οὐρανίῳ διηνεκῶς πολιτείᾳ ἐπὶ τῆς γῆς, ἐκληρώσω τὰ οὐράνια. Δίς.

Μεγίστης ὄντως ἐγένου χάριτος μέτοχος, Στυλιανὲ παμμάκαρ, μοναστῶν ὡραιότης· ἄρτῳ γὰρ ἀγγέλων ἐπὶ τῆς γῆς ἐντρεφόμενος, Ὅσιε, τὰς ἀτεκνούσας μητέρας θαυματουργῶν εὐτεκνούσας ἐναπέδειξας.

Φρούρει ἀπαύστως παντοίων νόσων καὶ θλίψεων τὴν πόλιν ταύτην πάτερ τὴν τιμῶσάν σε πόθῳ, ἔχεις γὰρ μεγίστην πρὸς τὸν Θεὸν παῤῥησίαν, πανόλβιε Στυλιανὲ, ἐξαιρέτως τὰ νεογνὰ πάσης βλάβης περιφύλαττε.

Δόξα, ἦχος πλ. δ'.

Τῶν μοναςῶν τὰ πλήθη τὸν καθηγητήν σε τιμῶμεν, Στυλιανὲ πατὴρ ἡμῶν· διὰ γὰρ σοῦ τὴν τρίβον τὴν ὄντως σοῦ εὐθεῖαν πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δȣλεύσας καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, ἀγγέλων συνόμιλε, ὁσίων συμμέτοχε καὶ δικαίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν.

Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη. Τυπικὰ, Ἀπόςολον ϗ Εὐαγγέλιον, ζήτει εἰς Ὅσιον. Κοινωνικόν. Εἰς μνημόσυνον.

# ΜΑΚΑΡΙΣΤΗΡΙΑ

ΕΙΣ

## ΘΕΟΜΗΤΟΡΙΚΑΣ ΕΟΡΤΑΣ ΚΑΙ ΕΟΡΤΑΖΟΜΕΝΟΥΣ ΑΓΙΟΥΣ,

Ψαλλόμενα ἀργῶς καὶ μετὰ μέλους ἐν τῇ Ἱερᾷ Ἱερουργίᾳ, ἀντὶ Κοινωνικοῦ.

### ΕΙΣ ΤΑ ΕΙΣΟΔΙΑ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι τῇ σῇ Εἰσόδῳ ὕμνον, προσφέρομεν, Παρθένε.

Αἱ γενεαὶ πᾶσαι τὴν Εἴσοδόν σε, Κόρη, ᾠδαῖς ἀνευφημοῦμεν.

Δῆμος φιλεόρτων, ἀθροίσθητε ὑμνῆσαι Εἴσοδον τῆς Παρθένου.

Χοροὶ τῶν Ὀρθοδόξων τὴν Θείαν Εἴσοδόν σε, Πανάμωμε, ὑμνοῦσι.

Εἰς Ἅγια Ἁγίων εἰσῆλθες μετὰ δόξης οἰκεῖν, Παρθενομήτωρ.

Ἰδοὺ νῦν πλήρης δόξης ὁ οἶκος καθορᾶται τοῦ Κτίστου καὶ Σωτῆρος.

Λαμπαδηφόροι κόραι φέρουσι τὴν Παρθένον πρὸς τὸν Ναὸν ἐνδόξως.

Ἐν τῷ Ναῷ εἰσῆλθες ὁ ἔμψυχος τοῦ Κτίςου ὄντως Ναὸς Παρθένου.

Ἐν τῷ Ναῷ κομίζει ἄγγελος οὐρανόθεν τροφὴν τῇ Παναχράντῳ.

Ἄνθρωποι σὺν ἀγγέλοις τὴν Εἴσοδον ὑμνοῦσι συμφώνως, Θεοτόκε.

Ἐν τῷ Ναῷ προσήχθης, Σεμνὴ, ἑτοιμασθῆναι εἰς κατοικίαν Κτίστου.

Τάγμασιν ἀγγέλων σήμερον ηὐλογήθης, Ὑπερευλογημένη.

Χερσὶ τῶν ἱερέων σήμερον ηὐλογήθης, Ὑπερευλογημένη.

Ὑπὸ παρθένων ἤχθη ἡ ἄσπιλος Παρθένος πρὸς τὸν Ναὸν τοῦ Κτίστου.

Ἡ οἰκουμένη ὅλη τὴν Θείαν Εἴσοδόν σου σὺν πόθῳ ἑορτάζει.

Τροφὴν ὑπὸ ἀγγέλου ἡ πάναγνος λαμβάνει θέαμα ξένων ὄντων.

Χριςιανῶν τὰ πλήθη σήμερον ἑορτάζει, σεμνὴ, τὴν Εἴσοδόν σου.

Τὰ τῶν ἀγγέλων στίφη ὁρῶντα ἐξεπλάγη τὴν Εἴσοδον τῆς Κόρης.

Ὢ θαύματος μεγίστου, πῶς τὴν τροφὴν ἡ Κόρη δέχεται οὐρανόθεν.

Εἰς Ἅγια Ἁγίων εἰσῆλθες τοῦ γενέσθαι σεμνὴ ναὸς τοῦ Κτίστου.

Χαῖρε, σεμνὴ Παρθένε, ὄντως ἡγιασμένον σκήνωμα τοῦ Ὑψίστου.

Ἁγνὴ Παρθενομήτωρ, τοὺς εὐφημοῦντας ὕμνοις τὴν Εἴσοδόν σου φρούρει.

Τοὺς τὰ Εἰσόδιά σου τελοῦντας, Θεοτόκε, ῥῦσαι παντὸς κινδύνου.

Οἱ ὑμνηταί σου, Κόρη, μὴ ἴδοιεν τὸ χάσμα τοῦ ᾅδου τοῦ παμφάγου.

Κινδύνων πολυτρόπων ῥυσθείημεν λιταῖς σου, ταῖς πρὸς Θεὸν, Παρθένε.

Ἐκ βλάβης ϗ κινδύνων, Πανάχραντε Παρθένε, φύλαττε τοὺς σοὺς δούλους.

Τοὺς πίςει τε καὶ πόθῳ σὴν Εἴσοδον τιμῶντας φρούρει, Παρθένε, πάντας.

Δόξα.

Τρισήλιε Θεέ μου λιταῖς τῆς Παναχράντου σῶσον τοὺς σοὺς ἱκέτας.

Καὶ νῦν.

Εἰς Ἅγια Ἁγίων οὖσα σεμνὴ μὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύειν.



### ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Αἱ γενεαὶ πᾶσαι ὕμνον τῇ ταφῇ σε προσφέρουσι, Παρθένε.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον.

Αἱ γενεαὶ πᾶσαι σὲ ὑμνολογοῦμεν τὴν Κεχαριτωμένην.

Δῆμος Ἀποςόλων, ἀθροίσθητε ἐν πόθῳ πρὸς τὴν ταφὴν Μαρίας.

Ἐκ περάτων ἧκε τῶν μαθητῶν τὸ στῖφος κηδεῦσαι τὴν Παρθένον.

Ἀσωμάτων τάξεις παρίστανταί σοι φόβῳ, Παρθένε, μεταστάσῃ.

Ὁ Σωτὴρ κατῆλθε σὺν μυριάσι νόων λαβεῖν μητρὸς τὸ πνεῦμα.

Τάξεις ἀσωμάτων ἀνύμνουν τὴν Παρθένον γῆθεν μεθισταμένην.

Πᾶσα κτίσις χαίρει τῇ Θείᾳ Μεταστάσει τῆς μόνης Πανυμνήτου.

Βροτοὶ σὺν τοῖς ἀγγέλοις ἐξόδιον τελοῦσιν ὕμνον τῇ Παναχράντῳ.

Ἡ μετάστασίς σου Δέσποινα ὑπάρχει τοῦ κόσμου σωτηρία

Σήμερον ὁ Δεσπότης ἐξ οὐρανοῦ κατῆλθε πρὸς τὴν αὐτοῦ μητέρα.

Σήμερον ἡ Παρθένος καὶ μήτηρ τοῦ Κυρίου πρὸς οὐρανοὺς ἀπαίρει.

Σήμερον πᾶσα κτίσις ἡγίασται, Παρθένε, τῇ Θείᾳ σου Κοιμήσει.

Γῆθεν Ἁγνὴ μετέστης μονὰς πρὸς οὐρανίους, Παρθενομήτωρ Κόρη.

Χοροὶ τῶν ἀρχαγγέλων κατῆλθον οὐρανόθεν τὴν Κόρην συνοδεῦσαι.

Ἀρχαί τε καὶ δυνάμεις ἔφερον τὴν Παρθένον πρὸς πόλιν μετὰ δόξης.

Τάγματα ἀγγέλων, χοροὶ τῶν Ὀρθοδόξων γεραίρουσί σε, Κόρη.

Λαοὶ φυλαὶ καὶ γλῶσσαι, κηδεύσατε ἐν φόβῳ τὴν πάντων προστασίαν.

Οὐράνιαι δυνάμεις ἐκύκλουν τῆς Παρθένου τὴν κλίνην μετὰ φόβου.

Μεγαλύνομέν σε τὴν ἔνδοξον καὶ Θείαν Κοίμησιν, Θεοτόκε.

Τοὺς τὴν μετάστασίν σε τιμῶντας, Θεοτόκε, ῥῦσαι παντοίας βλάβης.

Ὢ θαύματος μεγίστε! πῶς ἡ ζωὴν τεκοῦσα ἄπνους νῦν καθορᾶται!

Ὁ οὐρανὸς τοὺς κόλπους νῦν ἐφαπλοῖ δεχθῆναι τὴν τοῦ Θεοῦ Μητέρα.

Μετὰ τῶν ἀρχαγγέλων νῦν καὶ ἡμεῖς, Παρθένε, σὲ ἀνυμνολογοῦμεν.

Ἐκ παντοίων πάντας κινδύνων, Θεοτόκε, τοὺς σὲ ὑμνοῦντας ῥῦσαι.

Παρισταμένη, Κόρη, τῷ Θρόνῳ τοῦ Υἱοῦ σε ὑπὲρ ἡμῶν δυσώπει.

Ὑπὲρ τῶν σὲ ὑμνούντων, ἀμόλυντε Παρθένε, πρέσβευε τῷ Υἱῷ σου.

Δόξα.

Τρισήλιε Θεέ μου, ῥῦσαι ἡμᾶς γεέννης λιταῖς τῆς σὲ τεκούσης.

Καὶ νῦν.

Ἀμόλυντε Παρθένε, ταῖς πρὸς Θεὸν λιταῖς σου, σῶσον ἡμᾶς σοὺς δούλους.

### ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε, Χριςέ με Ζωδότα.

Αἱ γενεαὶ πᾶσαι δοξάζομεν τὴν Θείαν Ὑπαπαντήν σου, Λόγε

Αἱ γενεαὶ πᾶσαι γεραίρομεν ἐν ὕμνοις Ὑπαπαντήν σου Σῶτερ.

Αἱ γενεαὶ πᾶσαι νῦν τὴν Ὑπαπαντήν σου, Χριστέ μου, εὐφημοῦμεν.

Δεῦτε μετὰ πόθου τιμήσωμεν τὴν Θείαν Ὑπαπαντὴν τοῦ Κτίστου.

Ἡ οἰκουμένη πᾶσα νῦν τὴν Ὑπαπαντήν σε, Χριστὲ, τιμᾷ συμφώνως.

Σήμερον ἠγκαλίσθη ὁ πρέσβυς τὸν Δεσπότην, ὅνπερ ἰδεῖν ἐπόθει.

Ὁ Κτίςης τῶν ἁπάντων νήπιον καθορᾶται, θέαμα ξένον ὄντως.

Ὁ Συμεὼν ὁ πρέσβυς βαστάζει τὸν Σωτῆρα, ταῖς γηραιαῖς ἀγκάλαις.

Δεῦτε, πιστοὶ, τὸν Κτίστην ἴδωμεν νῦν τοῦ κόσμου, ὃν Συμεὼν βαστάζει.

Ὑπὸ μητρὸς προσήχθης, Χριστέ μου, νέον βρέφος, τῷ γηραιῷ πρεσβύτῃ.

Ἄγγελοι τὸν Δεσπότην νήπιον παραδόξως ἐξίσταντο ὁρῶντες.

Νῦν ἀπολύεις πάντας τοὺς δούλους σου, ὁ πρέσβυς ἔφη λαβὼν τὸν Κτίςην.

Οἱ ὀφθαλμοί μου εἶδον νῦν τὸ σωτήριόν σου, ἔφη Χριστῷ ὁ πρέσβυς.

Οὐράνιαι δυνάμεις σήμερον ἀοράτως παρίστανται τῷ Κτίστῃ

Σήμερον ὁ Δεσπότης ἐν τῷ Ναῷ προσήχθη Νόμου πληρῶν τὴν τάξιν.

Ὦ Συμεὼν πρεσβύτα, ὑπόδεξαι τὸν Κτίστην βρέφος προσενεχθέντα.

Εὐφραίνου, ὦ πρεσβύτα, δεξάμενος τὸν Κτίστην, ὅνπερ ἐπόθεις λίαν.

Ἀγκάλαις ὑπεδέχθη σήμερον ὁ πρεσβύτης τὸν Κτίστην χαρμοσύνως.

Ὠδαῖς ἀνευφημοῦμεν νῦν τὴν Ὑπαπαντήν σου οἱ δοῦλοί σου, Χριστέ μου.

Ἄγγελοι σὺν ἀνθρώποις σήμερον ἐκτελοῦσιν Ὑπαπαντὴν τοῦ Κτίστου.

Τοὺς τὴν Ὑπαπαντήν σου τελοῦντας, Ἰησοῦ μου, ῥῦσαι κινδύνων πάντας.

Τοὺς ἀνυμνοῦντας πόθῳ νῦν τὴν Ὑπαπαντήν σου σῶσον δεινῶν, Χριστέ μου.

Οἱ λατρευταί σου, Σῶτερ, ῥυσθείημεν γεέννης πυρὸς τοῦ αἰωνίου.

Τοὺς τὴν σεπτήν σου, Λόγε, Ὑπαπαντὴν τιμῶντας, φύλαττε ἐκ κινδύνων.

Οἱ τὴν Ὑπαπαντήν σου τελοῦντες Θεοῦ, Λόγε, ῥυσθείημεν γεέννης.

Βασάνων πολυτρόπων ῥυσθείημεν, Χριστέ μου, οἱ λατρευταί σου πάντες.

Δόξα.

Τρισήλιε Θεέ μου, πυρὸς ἐκ τῆς γεέννης ῥῦσαι ἡμᾶς σοὺς δούλους.

Καὶ νῦν.

Πανάχραντε Παρθένε, ὑπὲρ ἡμῶν μὴ παύσῃς πρεσβεύειν τῷ Υἱῷ σου.

---

## ΕΙΣ ΤΗΝ ΣΥΝΑΞΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΠΡΟΔΡΟΜΟΥ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε, Χριστέ μου Ζωοδότα.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦσιν, ὦ Βαπτιστὰ Κυρίου.

Αἱ γενεαὶ πᾶσαι τιμῶμέν σε ἀξίως, Πρόδρομε Ἰωάννη.

Δεῦτε πιστοὶ ἀξίως ὑμνήσωμεν τὸν Κτίστην, ὃν Πρόδρομος βαπτίζει.

Δῆμοι φιλεόρτων, ἀθροίσθητε ὑμνῆσαι τὸν Πρόδρομον Κυρίου.

Σήμερον Ἰωάννης βαπτίζει τὸν Δεσπότην ἐν ῥείθροις Ἰορδάνου.

Χαίροις, ὦ Ἰωάννη, Πρόδρομε καὶ Προφῆτα καὶ Βαπτιστὰ Κυρίου.

Χαίροις, ὦ Ἰωάννη, βλαστὲ τοῦ Ζαχαρίου καὶ Λύχνε τοῦ Ἡλίου.

Ἰδοὺ ὁ Ἰωάννης χειροθετεῖ τὸν Κτίστην ἐν ῥείθροις Ἰορδάνου.

Ὁ θεῖος Ἰωάννης βαπτίζει τὸν Σωτῆρα, θέαμα ξένον ὄντως.

Τῶν Προφητῶν ἁπάντων ὑπέρτερον ὁ Κτίστης, Πρόδρομε, μαρτυρεῖ σε.

Προφῆτα, ἄφες ἄρτι καὶ βάπτισόν με, λέγει Χριστὸς τῷ Ἰωάννῃ.

Σήμερον τῶν ὑδάτων ἡγίασται ἡ φύσις, τοῦ Κτίστου βαπτισθέντος.

Ἄγγελοι τὸν Δεσπότην γυμνὸν ἐν Ἰορδάνῃ ἐξίσταντο ὁρῶντες.

Ὑπὸ Πατρὸς, Σωτήρ μου, σαφῶς ἐμαρτυρήθης Υἱὸς ἠγαπημένος.

Σήμερον πᾶσα Κτίσις ἀγάλλεται καὶ χαίρει, Χριστοῦ ἐπιφανέντος.

Οὐράνιαι δυνάμεις παρίσταντό σοι φόβῳ, Χριστὲ, ἐν Ἰορδάνῃ·

Τῶν εὐσεβῶν τὰ στίφη, τιμήσωμεν ἀξίως τὸν Πρόδρομον Κυρίου.

Τῶν Ὀρθοδόξων δῆμοι, ἀθροίσθητε τελέσαι μνήμην τοῦ Ἰωάννου.

Τοὺς σὲ τιμῶντας πόθῳ, ὦ θεῖε Ἰωάννη, ῥῦσαι παντὸς κινδύνου.

Ὦ θεῖε Ἰωάννη, σῶσον ἡμᾶς τοὺς πίστει σὲ ἀνυμνολογοῦντας.

Πρόδρομε καὶ Προφῆτα, ῥῦσαι κινδύνων πάντας ταῖς πρὸς Θεὸν λιταῖς σου.

Ὦ Λύχνε τοῦ Ἡλίου, ὑπὲρ ἡμῶν μὴ παύσῃς πρεσβεύειν τῷ Σωτῆρι.

Δόξα.

Τρισήλιε Θεέ μου, λιταῖς τοῦ Ἰωάννου σῶσον ἡμᾶς σοὺς δούλους.

Καὶ νῦν.

Παρθένε Θεοτόκε, μετὰ τοῦ Ἰωάννου ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε, πάνσοφε Ἰωάννη.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν, ὦ θεῖε Ἰωάννη.

Τῶν εὐσεβῶν τὰ στίφη, συνέδραμον τελέσαι μνήμην τοῦ Ἰωάννου.



Ἡ οἰκουμένη πᾶσα ὕμνοις ἀνευφημεῖ σε, Θεῷ ἠγαπημένε.

Ἐφέσου τε καὶ Πάτμου φρουρὸς εἶ σὺ καὶ φύλαξ, Ἀπόστολε Κυρίου.

Εἰς πᾶσαν γῆν ἐξῆλθεν δαβιτικῶς ὁ φθόγγος, σοφὲ, τῶν σῶν δογμάτων.

Φωτὶ εὐαγγελίου κατηύγασες τὸν κόσμον, θεόφρων Ἰωάννη.

Νεκροὺς ἐγείρεις ξένως τῇ θείᾳ προσευχῇ σου, παρθένε Ἰωάννη.

Χριστοῦ τῇ ἐπικλήσει δαίμονας ἀπελαύνεις βρονταῖς, ὦ θεῖε γόνε.

Τὴν τῶν εἰδώλων πλάνην κατήργησας, θεόφρων, Εὐαγγελίου φθόγγῳ.

Τυφλοῦ ἤνοιξας κόρας σθένει τοῦ σοῦ Δεσπότου, παμμάκαρ Ἰωάννη.

Τῶν σῶν φρικτῶν τεράτων πᾶσα ἡ γῆ πληροῦται, Ἀπόστολε Κυρίου.

Τὸ τάγμα τῶν δικαίων τὴν μνήμην σου, παρθένε, βροτοῖς συνεορτάζει.

Τὴν σάρκωσιν τοῦ Λόγου πάντας, σοφὲ, διδάσκεις σῇ βροντοφώνῳ γλώττῃ.

Τὴν πόαν εἰς χρυσίον, πάνσοφε, μετηλλάξω θαυματουργῆσαι ξένος.

Πυθμένι τῆς θαλάσσης ἐνθάπτεται ὁ Κύνωψ, σοφὲ, τῇ σῇ δεήσει.

Τὰς Κύνωπος μαντείας Εὐαγγελίου λόγοις ἔλυσας, Θεολόγε.

Τὰ κατορθώματά σου ἐξέστησαν ἀγγέλους βροντῆς, ὦ θεῖε γόνε.

Οἱ ὑμνῳδοί σου πάντες ῥυσθείημεν κινδύνων λιταῖς σου, Ἰωάννη.

Ὦ θαύματος μεγίστου! πῶς τάφος τὸν παρθένον οὐκ ἴσχυσαι κρατῆσαι!

Ὁ τύμβος, Ἰωάννη, ἐκβρύει θείαν κόνιν, θέαμα ξένον τοῦτο.

Ἰάσεις ἐκ τοῦ τάφου τοῦ σοῦ, ὦ Ἰωάννη, ἀντλοῦμεν καθ' ἑκάστην.

Χαίροις, ὦ Ἰωάννη, τὸ καύχημα καὶ κλέος Ἐφέσου τε καὶ Πάτμου.

Τοὺς τὴν σεπτήν σου μνήμην τελοῦντας, Θεολόγε, ῥῦσαι κινδύνων πάντας.

Τοὺς πίστει σε καὶ πόθῳ σὲ ἀνυμνολογοῦντας φρούρει, σοφὲ, λιταῖς σου.

Ὁ παῖς τοῦ Ζεβεδαίου λιταῖς σου περιφρούρει τοὺς πανηγυριστάς σου.

Παντοδαπῶν κινδύνων τοὺς ὑμνητάς σου ῥῦσαι, Θεῷ ἠγαπημένε.

Δόξα.

Ὦ τρίφωτε Θεέ μου, λιταῖς τοῦ Ἰωάννου ἐλέησον σοὺς δούλους.

Καὶ νῦν.

Τὸν σὸν Υἱὸν, Παρθένε, μετὰ τοῦ Θεολόγου ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε πάνσοφε Ἰωάννη.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε Χριστοῦ τὸν Ἱεράρχην.

Αἱ γενεαὶ πᾶσαι σὲ μεγαλυνοῦμεν, Χρυσόστομον τὸν θεῖον.

Δῆμοι φιλεόρτων, ἀθροίσθητε τελέσαι μνήμην τοῦ Ἰωάννου.

Χορεῖαι φιλοχρίστων, νῦν δράμετε πρὸς ὕμνον τοῦ θείου Χρυσοστόμου.

Ἱεραρχῶν τὰ στίφη, σήμερον εὐφημοῦσι Χριστοῦ τὸν Ἱεράρχην.

Τάγματα ἀγγέλων σκιρτῶσιν ἐν τῇ μνήμῃ τοῦ θείου Χρυσοστόμου.

Λόγε Θεοῦ παντάναξ, δώρησαί μοι λόγον σὸν λειτουργὸν ὑμνῆσαι.

Πᾶς τε νοῦς καὶ γλῶσσα ὑμνεῖν σε, Ἰωάννη, οὐκ ἐξισχύσαι ὅλως.

Ἡ οἰκουμένη πᾶσα γεραίρει ἐτησίως τὴν μνήμην, Ἰωάννη.

Ἀρχιερέων δόξα καὶ κλέος τῶν ποιμένων πέλεις, ὦ Ἰωάννη.

Ἀρχιεράρχης θεῖος ἐδείχθης, Ἰωάννη, πόλεως Κωνσταντίνου.

Τὸ καύχημα καὶ κλέος σὺ εἶ τοῦ Βυζαντίου, Χρυσόστομε παμμάκαρ.

Ἀγγέλους ἐν τῷ μέλπειν εὐχαῖς σου, Ἰωάννη, ἔσχες συλλειτουργοῦντας.

Ἅπαξ καὶ δὶς ὑπέστης, σοφὲ, ὑπερορίας, [ὑ-]πὲρ δικαιοσύνης.

Τὸ λείψανόν σου, πάτερ, κεκτήμεθα ὡς κρήνην ἰάσεων ποικίλων.

Ἡ πόλις Κωνσταντίνου φρουρόν σε κεκτημένη, Χρυσόστομε, νῦν χαίρει.

Ἀδικουμένων ῥύστης καὶ ὀρφανῶν προστάτης πέφυκας, Ἰωάννη.

Χαίροις, Ἰωάννη, ἡ δόξα καὶ τὸ κλέος σὺ εἶ Ἀρχιερέων.

Η λάρναξ τῶν λειψάνων ἰάματα ἐκβλύζει, Χρυσόστομε, τοῖς πᾶσι.

Ο θεῖος Ἰωάννης σήμερον συγκαλεῖται πιστοὺς πρὸς ὑμνῳδίαν.

Ο θεῖος Ἱεράρχης σήμερον ἀοράτως σκέπει τοὺς Ὀρθοδόξους.

Τὰ κατορθώματά σου ἐξέστησαν ἀγγέλους, πάνσοφε Ἰωάννη.

Τάγματα ἀγγέλων μνήμην τοῦ Ἰωάννε βροτοῖς συνεορτάζει.

Τελοῦμέν σε ἐν ὕμνοις τὴν μνήμην, Ἰωάννη, μετ' εὐφροσύνης πάντες.

Τοὺς τὴν σεπτήν σου μνήμην, Χρυσόστομε, τελοῦντας ῥῦσαι παντὸς κινδύνου.

Ἐκ βλάβης ἐναντίων, σοφὲ, ἀτρώτους τήρει τοὺς πανηγυριστάς σου.

Οἱ ὑμνηταί σου πάντες ῥυσθείημεν κινδύνων λιταῖς σου Ἰωάννη.

Βασάνων αἰωνίων ῥῦσαι ἡμᾶς λιταῖς σου, Χριστοῦ Ἀρχιεράρχα.

Δόξα.

Ὦ Τριὰς ἁγία, λιταῖς τοῦ Ἰωάννου ἐλέησον σοὺς δούλους.

Καὶ νῦν.

Ὑπὲρ ἡμῶν, Παρθένε, μετὰ τοῦ Χρυσοστόμε τὸν σὸν Υἱὸν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ ΝΙΚΟΛΑΟΥ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Νικόλαε τρισμάκαρ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε Χριστοῦ τὸν Ἱεράρχην.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν, Νικόλαέ μου θεῖε.

Ἄγε Θεοῦ παντάναξ, χάρισόν μοι λόγον Νικόλαον ὑμνῆσαι.

Τῶν ὀρφανῶν προστάτης καὶ πλουτιστὴς πενήτων, Νικόλαέ μου, πέλεις.

Τῶν ἐν κινδύνοις ῥύστης καὶ βοηθὸς πλεόντων σὺ εἶ, Νικόλαέ μου.

Ἀδικουμένων πέλεις ἐπίκουρος καὶ ῥύστης, Χριστοῦ Ἀρχιεράρχης.

Ἀρχιεράρχην θεῖον Νικόλαον πλουτεῖ σε ἡ τῶν Μυρέων πόλις.

Ὁ δῆμος τῶν Μυρέων σήμερον ἐκτελεῖ σου τὴν μνήμην, Ἱεράρχα.

Ἄνθρωποι σὺν ἀγγέλοις σήμερον εὐφημοῦσι Μυρέων τὸν Ποιμένα.

Τὸν Ἄρειον καθεῖλες, σοφὲ, ἐν τῇ Συνόδῳ, σφοδρῶς τοῦτον ῥαπίσαι.

Ἐν τῇ εἱρκτῇ, θεόφρων, ἐλθὼν Χριστός σοι ἔδω Εὐαγγελίου βίβλον.

Ὠμόφορον ἐδέξω ἐκ τῆς Παρθένε, πάτερ, σὺν τῷ Υἱῷ ἐλθούσης.

Βασιλεῖς, θεόφρων, ᾠδαῖς καὶ ἡγεμόνες σὴν μνήμην ἐκτελοῦσι.

Πατέρες θεοφόροι προσπίπτουσί σε, πάτερ, συγγνώμην ἐξαιτοῦντες.

Τὰ κατορθώματά σου ἐξέστησαν ἀγγέλους, Νικόλαε θεόφρων.

Ἐκ βάθους τῆς θαλάσσης τοὺς σὲ προσκαλουμένους, Νικόλαε λυτρῶσαι.

Τὰ λείψανά σε, πάτερ, πηγὴ τῶν ἰαμάτων πέλει τοῖς Ὀρθοδόξοις.

Θαυμάτων ἐξαισίων κλονεῖς τὴν Οἰκουμένην, Νικόλαέ μου ὄντως.

Ὠμόφορον, θεόφρων, εἴληφας ὡς βραβεῖον τῆς κατ' Ἀρείου νίκης.

Χριστὸς πρὸς τὸν Ποιμένα ἐξ Οὐρανοῦ κατῆλθε, θέαμα ξένον ὄντως.

Ἄνακτι Κωνσταντίνῳ καθ' ὕπαρ ὤφθης, πάτερ, ἄδικον λύων ψῆφον.

Τοὺς τρεῖς ἄνδρας ἐῤῥύσω σφαγῆς ἀδίκου, πάτερ, ὀφθεὶς τῷ Κωνσταντίνῳ.

Ἱεραρχῶν τὸ κλέος καὶ δόξα τῶν Πατέρων σὺ εἶ, Νικόλαέ μου.

Ἀρχιερεὺς Μυρέων ἐδείχθης τῆς Λυκίας, Νικόλαε θεόφρων.

Ἀρχιερέων δόξα καὶ καύχημα Μυρέων, Νικόλαε τυγχάνεις.

Νόες πρὸς Ἱεράρχην τὸν Κτίστην κατελθόντα ἐθαύμασαν ὁρῶντες.

Τοῖς σὲ προσκαλουμένοις βοήθειαν παράσχε, Νικόλαε ταχέως.

Δόξα.

Τρισήλιε Θεέ μου, λιταῖς τοῦ Ἱεράρχου σῶσον ἡμᾶς, σοὺς δούλους.

Καὶ νῦν.

Τὸν σὸν Υἱὸν, Παρθένε, μετὰ τοῦ Νικολάου ὑπὲρ ἡμῶν δυσώπει.



### ΤΑ ΠΡΟΣ ΤΟΝ ΙΕΡΑΡΧΗΝ ΝΙΚΟΛΑΟΝ

## ΕΥΛΟΓΗΤΑΡΙΑ.

Εὐλογητὸς εἶ Κύριε δίδαξόν με Νικόλαον ὑμνῆσαι.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν τῷ μέσῳ τῆς Συνόδου, τὴν Τριάδα μὲν, σοφὲ, ὁμοούσιον ὁμολογοῦντα, τὸν Ἄρειον δὲ ἐνθαρσῶς ῥαπίσαντα, καὶ ὑπὲρ Χριστοῦ εἰς εἱρκτὴν ἀπαγόμενον.

Ἀρχιερεῦ Νικόλαε, δίδαξόν με ὑμνῆσαί σε ἀξίως.

Τί ἀδίκως, βασιλεῦ, κατέκρινας ἄνδρας τρεῖς, ὄντας ἀθώους; ὁ θεράπων τοῦ Χριστοῦ Νικόλαος, προσεφθέγγετο τῷ Κωνσταντίνῳ τούτους σπεῦσον οὖν ἀπολῦσαι τάχιστα, ἵνα μὴ πρὸς Κύριον δεηθῶ τοῦ ἀπολέσαι σε.

Θαυματουργὲ Νικόλαε, φύλαξόν με κινδύνων ἐκ παντοίων.

Λίαν πρωῒ, φιλέορτοι σπεύσωμεν τὸν Νικόλαον ὑμνολογῆσαι, καὶ συμφώνως πρὸς αὐτὸν βοήσωμεν ἀπὸ καρδίας, λύτρωσαι ἡμᾶς πάσης βλάβης, ἅγιε, ταῖς πρὸς Κύριον λιταῖς σε, Νικόλαε.

Τερατουργὲ Νικόλαε, χάρισόν με συγχώρησιν πταισμάτων.

Μέγα θαῦμα, ὁ μέγας Ἱεράρχης Μυρέων ἐκ πυθμένος τῆς θαλάσσης λυτροῦται οἱ ὅλη δὲ ψυχῇ τοῦτον ἐπικαλοῦντες, τῆς ἀδίκου σφαγῆς ἄνδρας τρεῖς ἐῤῥύσατο, ὅθεν ἐν ᾠδαῖς τοῦτον νῦν μεγαλύνομεν.

Δόξα.

Προσκυνῶ ἐκ καρδίας σὺν Πατρὶ τὸν Υἱόν τε καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ βοῶ πρὸς αὐτὴν σῶσόν με τὸν δοῦλόν σου, Τριὰς ἄναρχε, ταῖς τοῦ Νικολάου δεήσεσι.

Καὶ νῦν.

Ζωοδότην τοῦ κόσμε, Παναγία Παρθένε, ἡ τεκοῦσα ἀσπόρως, ζώωσόν με θανοῦσαν τὴν ψυχὴν σαῖς πρεσβείαις καὶ ὑπὲρ ἐμοῦ τῷ Υἱῷ σε πρέσβευε μετὰ τοῦ σεπτοῦ Νικολάου, Ἄχραντε.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΗΣ ΑΓΙΑΣ ΑΙΚΑΤΕΡΙΝΗΣ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε Αἰκατερῖνα μάρτυς.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν, σοφὴ Αἰκατερῖνα.

Φιλομαρτύρων δῆμος, ἀθροίσθητε ὑμνῆσαι τὴν νύμφην τοῦ Κυρίου.

Ἡ οἰκουμένη πόθῳ τελεῖ, Αἰκατερῖνα, τὴν μνήμην σου τὴν θείαν.

Εὐφραίνεται πλουτοῦσα τὰ σπάργανά σου, μάρτυς, Ἀλεξανδρέων πόλις.

Τῶν εὐσεβῶν τὰ στίφη τιμᾷ, Αἰκατερῖνα, τὴν θείαν ἄθλησίν σου.

Ῥητόρων τὰς φληνάφους ῥήσεις καθεῖλες, μάρτυς, δυνάμει τῶν σῶν λόγων.

Ὠμότητα τυράννου καὶ ἀπειλὰς, ὦ μάρτυς, οὐδόλως ἐπτοήθης.

Ὀφρῦν τε καὶ τὸ θάρσος, σοφὴ, τοῦ Μαξεντίου κατέβαλλες γενναίως.

Ψυχαί τε τῶν ῥητόρων δῶρα τῷ σῷ νυμφίῳ, Αἰκατερῖνα, πέμπεις.

Θωπεῖαι Μαξεντίου οὐκ ἴσχυσάν σε κάμψαι ψυχὴν γενναίαν, μάρτυς.

Εἱρκτὴν, παρθενομάρτυς, καὶ αἰκισμοὺς ὑπέστης ὑπὲρ τοῦ σοῦ νυμφίου.

Τροφὴν ὁ σός νυμφίος ἐν τῇ εἱρκτῇ σου πέμπει, πάνσοφε, οὐρανόθεν.

Ἄγγελος οὐρανόθεν κατῆλθεν ἐνισχύων σὲ, μάρτυς, ἐν σταδίῳ.

Τροφὴν Αἰκατερίνα δέχεται οὐρανόθεν θέαμα ξένον ὄντως.

Ἄθλά σου τὰ γενναῖα ἐξέστησαν ἀγγέλους, Αἰκατερίνα μάρτυς.

Τὰ τῶν ἀγγέλων στίφη δέχεται τῆς πανσόφου μάρτυρος νῦν τὸ πνεῦμα.

Ἐν ὄρει τῷ Σιναίῳ Χριστὸς, Αἰκατερίνα, φυλάττει τὸ σὸν σκῆνος.

Τάγμα τῶν ἀγγέλων, ὦ μάρτυς, ἐν σταδίῳ ὁρῶν σε ἐξεπλάγη.

Ὢ θαύματος μεγίστου! πῶς τὴν τροφὴν λαμβάνει ἐξ οὐρανοῦ ἡ μάρτυς!

Χαίροις, Αἰκατερίνα, νύμφη Χριστοῦ ὡραία καὶ κλέος τῶν παρθένων.

Τοὺς τὴν σεπτήν σου μνήμην τελοῦντας μετὰ πόθου Αἰκατερίνα φρούρει.

Ἐκ βλάβης καὶ κινδύνων σκέπε, Αἰκατερίνα, τοὺς πανηγυριστάς σου.

Τοῖς σὲ ὑμνοῦσι λύσιν πταισμάτων ταῖς λιταῖς σου, Αἰκατερίνα, δίδου.

Τοὺς ἐν Σιναίῳ ὄρει, σοφὴ Αἰκατερίνα, μονάζοντας νῦν σκέπε.

Ὑπὲρ τῶν σὲ τιμώντων ἀεὶ τὸν σὸν νυμφίον, πανένδοξε, δυσώπει.

Δόξα.

Ὦ τρίφωτε Θεέ μου, λιταῖς Αἰκατερίνης ἐλέησον τὸν κόσμον.

Καὶ νῦν.

Ὑπὲρ ἡμῶν, Παρθένε, σὺν τῇ Αἰκατερίνῃ, τὸν σὸν Υἱὸν δυσώπει.

---

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ

## ΧΑΡΑΛΑΜΠΟΥΣ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε Χριστοῦ Ἱερομάρτυς.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν, Ἱερομάρτυς θεῖε.

Ἆρον σὺ τὰς χεῖρας πρὸς τὸν Θεὸν, θεόφρων, ὑπὲρ ἡμῶν πρεσβεύειν.

Ἀνέστησας θανόντας, θείᾳ ἐντεύξει, μάρτυς Χαράλαμπες πολύτλα.

Γενναίως ἐκαρτέρεις τυπτόμενος, πολύτλα, συρόμενος πλατείαις.

Δουκὸς τὰς χεῖρας, μάρτυς Χαράλαμπες, ἰάσω, σαρκί σου κρεμασθείσης.

Δημίους καὶ γυναῖκας προσήγαγες τῷ Κτίστῃ μάρτυρας στεφηφόρους.

Ἔλυσας εἰδώλων σκοτόμαιναν, πολύτλα, διὰ τοῦ ματυρίου.

Ἔθυσας θυσίαν αἰνέσεως Κυρίῳ ὡς ἱερεὺς τυγχάνων.

Ἡ Ἐκκλησία, μάκαρ, ἐκτήσατό σε κόσμον βασίλειον καθάπερ.

Ἥλοις προσηλώθη τὸ καρτερόν σου σῶμα καὶ δρόμους κατεξάνθη.

Ἱερομάρτυς θεῖε, Χαράλαμπες, λιταῖς σου, λοιμοῦ ἡμᾶς συντήρει.

Κατήσχυνας Σεβῆρον τὸν ἄθεον καὶ ἄγουν τοῖς θαυμαστοῖς σου ἔργοις.

Λίθων τὰς νιφάδας, λαμπάδων τε ἐκκαύσεις γενναίως ἐκαρτέρεις.

Μετέβαλλες τὸ ξύλον εἰς δένδρον καρποφόρον, ὢ θαύματος μεγίστου!

Ὅπου ἐπικαλεῖται τὸ ὄνομά σου, μάκαρ, πανώλη φυγαδεύει.

Πορφύριος καὶ Βάπτος σὺν γυναιξὶ προσῆλθον διὰ σοῦ τῷ Σωτῆρι.

Προσκυνοῦμεν πόθῳ τὴν σὴν εἰκόνα, μάρτυς Χαράλαμπες, τὴν θείαν.

Παντοίων νοσημάτων καὶ συμφορῶν λιταῖς σου ἀπάλλαξον σοὺς δούλους.

Προσήγαγες Κυρίῳ Γαλήνην βασιλίδα μάρτυρα ἐστεμμένην.

Σοὶ ἐξεχύθη χάρις τοῦ θεραπεύειν, μάκαρ, πανώλους τε τὴν νόσον.

Ταῖς προσευχαῖς πανώλους, ῥῦσαι ἡμᾶς, πολύτλα Χαράλαμπες, τῆς νόσου.

Σεβῆρον τε καὶ Κρῖσπον, Χαράλαμπες, καθεῖλες καὶ ᾔσχυνας σοῖς λόγοις.

Τὰς ξέσεις τῆς σαρκός σου, Χαράλαμπες, ὑπέστης διὰ Χριστὸν ἀνδρείως.

Τυφλοὺς, χωλοὺς, κουλούς τε ἰάτρευσας, πολύτλα, καὶ ἄλλους ἀσθενοῦντας.

Τὴν κάραν προσκυνοῦμεν τὴν σὴν, Ἱερομάρτυς Χαράλαμπες, ἐκ πόθου.

Τοὺς τῷ Ναῷ σου τούτῳ προσερχομένους, μάρτυς, λύτρωσαι τῆς πανώλους.

Τὸν σὸν ναὸν πλουτοῦμεν πανώλους ἐλατῆρα, Χαράλαμπες πολύτλα.



Χαράλαμπες γενναῖε, τοὺς σὲ τιμῶντας ῥῦσαι λοιμοῦ τοῦ ὀξυτάτου.

Χαράλαμπες πολύτλα, Ἱερομάρτυς θεῖε, ῥῦσαι ἡμᾶς κινδύνων.

Ὡς ἱερεὺς καὶ μάρτυς διπλοῦν ἐδέξω στέφος χειρὸς ἐκ τοῦ Ὑψίστου.

Ὡς ἔχων παῤῥησίαν, ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν τὸ θεῖον.

Ὦ ἱερεῦ καὶ μάρτυς Χαράλαμπες, λιταῖς σου ῥῦσαι ἡμᾶς πανώλους.

Ὦ ἀθλητὰ καὶ θῦτα τὴν πόλιν ταύτην σκέπε πανώλους ὀλεθρίου.

Δόξα.

Θεέ μου πανοικτίρμων, πρεσβείαις Χαραλάμπους, σκέπε ἡμᾶς καὶ σῶσον.

Καὶ νῦν.

Παντάνασσα Παρθένε μετὰ τοῦ Χαραλάμπους ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΩΝ ΤΡΙΩΝ ΙΕΡΑΡΧΩΝ.

Αἱ γενεαὶ πᾶσαι ὑμᾶς ὑμνολογοῦμεν τοὺς τρεῖς Ἀρχιεράρχας.

Αἱ γενεαὶ πᾶσαι ὑμᾶς μακαριοῦμεν τρισόλβιοι πατέρες.

Βασίλειε θεόφρων, τοὺς σὲ ὑμνολογοῦντας φρούρει ταῖς σαῖς πρεσβείαις.

Γρηγόριε θεόφρων, τοὺς ὑμνητάς σου ῥῦσαι παντοίας ἐπηρείας.

Δέησιν Κυρίῳ ὑπὲρ ἡμῶν, πατέρες, μὴ παύσητε ποιοῦντες.

Ἐλάμψατε ἐν κόσμῳ ὡς τρεῖς λαμπροὶ φωστῆρες δι᾽ ἔργων τε καὶ λόγων.

Ἑορτάζει μνήμην σήμερον οἰκουμένη τῶν θείων διδασκάλων.

Διδάσκαλοι τοῦ κόσμου, Ὀρθοδοξίας πύργοι ἐδείχθητε, πατέρες.

Ἀρχιεράρχαι θεῖοι διδάσκαλοι τρεῖς, πάντας ἡμᾶς περιφρουρεῖτε.

Ἀγγέλους ἐπιγείους ἡ κτίσις ὑμᾶς εἶδε καὶ ἄνδρας οὐρανίους.

Ἱεραρχῶν, Πατέρων καὶ Διδασκάλων κλέος ὑπάρχετε Πατέρες.

Ἰωάννη μάκαρ Χρυσόστομε, λιταῖς σου, ῥῦσαι ἡμᾶς γεέννης.

Πατέρες θεηγόροι, πρεσβεύσατε Τριάδι ὑπὲρ εἰρήνης κόσμου.

Μετὰ τοὺς Ἀποστόλους, τρεῖς ἄλλους Ἀποστόλους ὑμᾶς καταπλουτοῦμεν.

Πανήγυριν τὴν θείαν σήμερον ἐκτελοῦμεν, ὦ τρεῖς Ἀρχιεράρχαι.

Μουσικαὶ κιθάρες ἐδείχθητε, Πατέρες, Πνεύματος τοῦ Ἁγίου.

Τρεῖς Ἱεράρχαι θεῖοι, πρεσβεύετε ἀπαύστως ὑπὲρ τῶν Ὀρθοδόξων.

Τοὺς ἐπιτελοῦντας ἡμῶν τὴν θείαν μνήμην, ῥύσασθε τῶν κινδύνων.

Τρίπλοκος σφενδόνη ὑπάρχετε, πατέρες, Δαβὶδ τοῦ βασιλέως.

Σπαρτίον Σολομῶντος τὸ κόκκινον, Πατέρες, ἐδείχθητε ἐνδόξως.

Φραγγέλιον τοῦ λόγου τὸ τρίπλοκον, Πατέρες, ὑμεῖς ἐστὲ ἐνθέως.

Μακρὰν τῆς Ἐκκλησίας ἠλάσατε τοὺς λύκους καὶ κακοδόξους κύνας.

Ὦ τρεῖς σεπτοὶ Πατέρες, μνήσθητε ἐν τῇ κρίσει, πάντων ἡμῶν, θεόπται.

Δόξα.

Ὦ τριὰς ἁγία Τριῶν λιταῖς πατέρων ῥῦσαι ἡμᾶς γεέννης.

Καὶ νῦν.

Ὦ Θεοτόκε, σῶζε ὑμᾶς κακῶν παντοίων λιταῖς τῶν διδασκάλων.

---

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΟΣΙΟΥ

## ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὸν Ὅσιον Κυρίου.

Ἄλλος χρυσοῤῥόας Εὐφράτης ἀνεδείχθης, Ἐφραὶμ, τῇ Ἐκκλησίᾳ.

Σοὶ ἐξεχύθη χάρις σοφίας δύο λόγους συνέγραψας ἀρίστους.

Ἐν ἐγκρατείᾳ, Πάτερ, εὐχαῖς καὶ ἀγρυπνίαις ἐνέκρωσας τὰ πάθη.

Τοῦ Πνεύματος ἡ χάρις σκηνώσασά σοι, Πάτερ, σὲ ἔδειξε φωστῆρα.

Ἐθρήνεις ἀεννάως, Ἐφραὶμ, προβλέπων ὥραν ἐτάσεως φρικώδους.

Διδάσκαλος ἐγένου ἐγείρων τοὺς ῥαθύμους μετανοεῖν πταισμάτων.

Ἡ γλῶσσά σου ἐδείχθη κάλαμος γραμματέως, Ἐφραὶμ, ὡς ὀξυγράφου.

Εὐφραίνεις φερωνύμως ἐπεσιθείοις, Πάτερ Ἐφραὶμ, πιστῶν καρδίας.

Ἐξέκοψας βλασφήμων τὰς γλώσσας τε μακαίρα, Ἐφραίμ, τῶν σῶν δογμάτων.

Κριτοῦ τὴν παρουσίαν, ἀεὶ προβλέπων, Πάτερ, ἐθρήνεις ὡς ἐχέφρων.

Ἐφραὶμ θαυματοφόρε, ἡμᾶς λιταῖς σου σκέπε ἐκ βλάβης ἀλλοτρίου.

Σῶζε τοὺς σὲ τιμῶντας ἐκ πάσης βλάβης, πάτερ, Ἐφραὶμ ταῖς σαῖς πρεσβείαις.

Εὐφραντικὴ καρδία, Ἐφραὶμ τῶν προσευχῶν σου εὔφρανον σὲ ὑμνοῦντας.

Δόξα.

Κριτὰ Θεὲ καὶ Πλάστα, Ἐφραὶμ ταῖς ἱκεσίαις, ῥῦσαι ἡμᾶς γεέννης.

Καὶ νῦν.

Ἱκέτευε Υἱόν σου ὑπὲρ ἡμῶν, Παρθένε, σὺν τῷ Ἐφραὶμ τῷ θείῳ.

## ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ ΤΟΥ ΣΩΤΗΡΟΣ.

Αἱ γενεαὶ πᾶσαι σὲ δοξολογοῦμεν, Σωτήρ μας Ζωοδότα.

Αἱ γενεαὶ πᾶσαι τῇ σῇ Μεταμορφώσει ὕμνον προσφέρουσί σε.

Ἀνήκουστα ἠκούσθη λόγος Πατρὸς Ἀπάτωρ Υἱὸς ἐκ τῆς Παρθένου.

Βασιλευόντων πέλεις σὺ Βασιλεὺς Οἰκτίρμων καὶ Κύριος κυρίων.

Ἔφριξαν ἰδόντες ἐν Θαβωρίῳ δόξαν τὴν σὴν οἱ Μαθηταί σου.

Εἰρήνην Ἐκκλησίαις δώρησαι καὶ τῷ κόσμῳ τῇ σῇ μεταμορφώσει.

Ἐν ὄρει Θαβαρίῳ μέγα καὶ φρικῶδες θέαμα καθωράθη.

Ἦχος ἐκ νεφέλης θεόκτυπος τὸ θαῦμα ἐν ὄρει ἐβεβαίου.

Θαβὼρ ἐν ὄρει, Σῶτερ, μετεμορφώθης δείξας Μαθηταῖς θείαν δόξαν.

Καλὸν ὧδε ποιῆσαι σκηνὰς τρεῖς, ἔφη Πέτρος, μὴ εἰδὼς ὃ ἐλάλει.

Λάμψον Πανοικτίρμων, καὶ ἐφ' ἡμᾶς τὸ φῶς σου, πρεσβείαις τῆς Μητρός σου.

Μετεμορφώθης, Σῶτερ, ἐν ὄρει Θαβωρίῳ ἔμπροσθεν Μαθητῶν σου.

Μωσῆς δὲ καὶ Ἠλίας ἐν τῇ μεταμορφώσει σοὶ συνελάλουν, Σῶτερ.

Μετεμορφώθης ὄρει, Χριστέ, τῷ Θαβωρίῳ ἔμπροσθεν Μαθητῶν σου.

Ὄρος τὸ ζοφῶδες νῦν τίμιον ὑπάρχει καὶ ἅγιον καὶ θεῖον.

Πρηνεῖς οἱ Μαθηταί σου ἔπεσον τὴν λάμψιν μὴ φέροντες ὁρᾶν σε.

Πρὸ τοῦ Σταυροῦ σου, Σῶτερ, μετεμορφώθης ὄρει, Χριστέ, τῷ Θαβωρίῳ.

Παραλαβὼν εἰς ὄρος, Χριστέ, τοῖς Μαθηταῖς σου μετεμορφώθης λόγῳ.

Πέτρῳ, Ἰακώβῳ καὶ Ἰωάννῃ δόξαν, ὑπέδειξας σήν, Λόγε.

Τελοῦμεν ἐτησίως μεταμορφώσεώς σου θείαν ὑμνοῦντες μνήμην.

Τὸ ὄρος ἐσκεπάσθη φωτί, Θαβώρ, τὸ θεῖον, σοῦ μεταμορφουμένου.

Ὑπέδειξας ἐν ὄρει τὴν θεϊκήν σου δόξαν Θαβὼρ τοῖς Μαθηταῖς σου.

Φωνὴ ἐκ τῆς νεφέλης Πατρὸς προσεμαρτύρει Υἱὸν ἀγαπητόν σε.

Φωτί σου οὐρανίῳ κατάφλεξον, Οἰκτίρμων, πλήθη ἁμαρτιῶν μου.

Φώτισον φωτί σου ἡμᾶς σοὺς δούλους, Σῶτερ, τοὺς σὲ πεπιστευκότας.

Φῶς λάμψον ταῖς καρδίαις ἡμῶν τῶν λατρευτῶν σου, Θεάνθρωπε Σωτήρ μου.

Δόξα.

Ὦ τρίφωτε Θεέ μου, Πατὴρ Υἱὲ καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

Καὶ νῦν.

Τὸ φῶς τὸ τοῦ Υἱοῦ σου, ἰδεῖν ἡμᾶς σοὺς δούλους ἀξίωσον, Παρθένε.

## ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ ΤΟΥ ΤΙΜΙΟΥ ΠΡΟΔΡΟΜΟΥ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὸν Πρόδρομον Κυρίου.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε τὸν Βαπτιστὴν Κυρίου.

Ἄγγελος ἐξ ὀνύχων τῶν ἁπαλῶν ἐδείχθης, Πρόδρομε Ἰωάννη.

Βασιλέα, μάκαρ, ἤλεγξας παῤῥησίᾳ, διὰ παρανομίαν.

Γύναιον κακοῦργον, ᾐτήσατο δοθῆναι, σὴν κεφαλήν, Προφῆτα.

Διὰ τὸν νόμον κάραν ἐτμήθης, Ἰωάννη, Πρόδρομε τοῦ Σωτῆρος.

Ἐλέγχους ὁ Ἡρώδης σοὺς μὴ ὑποφέρων σὴν κεφαλὴν ἐκτέμνει.



Ζήλῳ θείῳ πνέων ἐλέγχεις τὸν Ἡρώδην παράνομα μὴ πράττων.

Ἡρώδης ὁ παράφρων ἐκτέμνει σου τὴν κάραν διὰ Ἡρωδιάδα.

Θυγάτηρ διαβόλου ὠρχήσατο καὶ εἷλε μίσθωμα τὴν σὴν κάραν.

Ἰωάννη μάκαρ, τιμῶμεν κεφαλήν σου ἀποτομὴν ἐν ὕμνοις.

Κάραν ἀπετμήθης διὰ τὸν νόμον, μάκαρ, καὶ μάρτυς ἀνεδείχθης.

Λαοῖς ἐν τῇ ἐρήμῳ ἐκήρυξας τὸν Κτίστην ἀμνὸν Θεοῦ Προφῆτα.

Μητρῴας ἐκ κοιλίας ἡγιασμένος ὤφθης Χριστοῦ εἰς ὑπουργίαν.

Νόμου σφραγὶς ἐδείχθης καὶ γεννητῶν σὺ μείζων, Πρόδρομε Ἰωάννη.

Προφήτης ἐκ Προφήτε, Ἀπόστολος καὶ μάρτυς, ἐγένου Ἰωάννη.

Ῥῦσαι τῆς γεέννης ἡμᾶς τοὺς σὲ ὑμνοῦντας, Πρόδρομε, σαῖς πρεσβείαις.

Σήμερον ἑορτάζει ἀποτομὴν σῆς κάρας, Πρόδρομε, οἰκουμένη.

Τῆς μετανοίας κῆρυξ, Πρόδρομε Ἰωάννη, φρούρει ἡμᾶς λιταῖς σου.

Ὑπεραθλήσας χαίρων τῆς ἀληθείας ἄθλοις, Θεὸν εὐηγγελίσω.

Φιλίππου τὴν γυναῖκα οὐκ ἔξεστί σοι ἔχειν, ἔλεγες τῷ Ἡρώδῃ.

Χαῖρε Ἰωάννη, Πρόδρομε καὶ Προφῆτα, καὶ Βαπτιστὰ Κυρίου.

Ὦ Βαπτιστὰ Κυρίου, Πρόδρομε Ἰωάννη, σκέπε ἡμᾶς σοὺς δούλους.

Δόξα.

Θεέ μου Παντοκράτωρ, λιταῖς τοῦ σοῦ Προδρόμου ῥῦσαι ἡμᾶς γεέννης.

Καὶ νῦν.

Ἱκέτευε, Παρθένε, μετὰ τοῦ σοῦ Προδρόμου, ὑπὲρ ἡμῶν τὸν Πλάστην.

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓ. ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΣΩΖΟΝΤΟΣ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, τὸν μάρτυρα Κυρίου.

Ἀνοίξας τὸ σὸν στόμα, ἐκήρυξας σταδίῳ τὸ ὄνομα Κυρίου.

Ἀφεῖλες χρυσοτεύκτου εἰδώλου χεῖρα, Σώζων, καὶ πένησι παρέσχες.

Αὐτόκλητος προσῆλθες τῷ μαρτυρίῳ, Σώζων, ζῆλον πνέων τοῦ θείου.

Βασάνους δριμυτάτους ὑπέμεινας, ὦ Σώζων, ὑπὲρ Χριστοῦ ἀγάπης.

Ἔβαψας, Σώζων, τὴν γῆν τοῖς αἵμασί σου, διὰ Χριστὸν χυθεῖσι.

Γενναίως ἐκαρτέρεις, ξεόμενος, ὦ Σώζων, τυπτόμενός τε βάκλοις.

Παρέδωκας τὸ πνεῦμα, Θεῷ ἐν τοῖς βασάνοις, ἃς δι' αὐτὸν ὑπέστης.

Χριστῷ στεφανηφόρος παρίστασαι, ὦ Σώζων, νομίμως, ὡς ἀθλήσας.

Ἔλαβες βραβεῖα καὶ στέφει τῶν ἀγώνων καὶ νίκης ἐκ Κυρίου.

Χριστὸς παρέσχετό σοι στεφάνους ἀμαράντους τοῦ μαρτυρίου, Σώζων.

Θαυμάτων χάριν, Σώζων, ἄφθονον ἐδέξω παρὰ Χριστοῦ Σωτῆρος.

Σωτὴρ καὶ ῥύστης, Σώζων, πολλῶν χειμαζομένων ἐδείχθης, ἀθλοφόρε.

Σῶσον ἐκ παντοίων κακῶν λιταῖς σου, Σώζων, πάντας ἡμᾶς, πολύτλα.

Σωθῆναι τοὺς τιμῶντας τὴν μνήμην σου, ὦ Σώζων, ἱκέτευε τὸν Πλάστην.

Σώζων ἀθλοφόρε, σῶσον ἡμᾶς νόσου καὶ πάσης ἄλλης βλάβης.

Μεγαλομάρτυς Σώζων, σὴν ἑορτὴν τελοῦντας, σῶσον παντὸς κινδύνου.

Ὡς μάρτυς, θεῖε Σώζων, ἔχεις παῤῥησίαν, πρὸς τὸν Θεὸν μεγίστην.

Δόξα.

Σῶτερ Πανοικτίρμων, σῶσον ἡμᾶς πρεσβείαις Σώζοντος τοῦ γενναίου.

Καὶ νῦν.

Σωτῆρα ὡς τεκοῦσα σῶζε ἡμᾶς γεέννης, Παρθενομήτωρ Κόρη.

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓ. ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΔΗΜΗΤΡΙΟΥ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Δημήτριε πολύτλα.

Λόγχῃ κατετρώθης πλευρὰν τὴν μακαρίαν ὡς ὁ Δεσπότης, μάρτυς.

Τὴν οἰκουμένην, μάρτυς, ἐπλήρωσας θαυμάτων, Δημήτριε παμμάκαρ.

Μύρα ἀναβλύζεις ἐκ τῆς πλευρᾶς σου, μάρτυς, τῇ λόγχῃ κεντηθείσης.

Λόγχαις κατετρώθης πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριε τρισμάκαρ.

Τὴν ἔπαρσιν καθεῖλες τοῦ ἄφρονος Λυαίου, τὸν Νέστορα θαῤῥύνας.

Εθάῤῥυνας σφραγίσας τὸν Νέστορα σταδίῳ, τύπῳ σταυροῦ τοῦ θείου.

Ελαβες τὴν χάριν θαυμάτων παραδόξων παρὰ Κυρίου, μάρτυς.

Ω μυροβλύτα θεῖε, Δημήτριε, λιταῖς σου φρούρει τοὺς σὲ τιμῶντας.

Δημήτριε πολύτλα, κινδύνων ῥῦσαι πάντας τοὺς σὲ ὑμνολογοῦντας.

Η οἰκουμένη, μάρτυς, ὑπέρμαχόν σε μέγαν εὕρατο ἐν κινδύνοις.

Τιμῶμεν, μυροβλῦτα, τὴν μνήμην σου ἐν ὕμνοις Χριστὸν δοξολογοῦντες.

Εἰκόνισας τὸ πάθος τοῦ Ζωοδότου, μάρτυς, τῇ λόγχῃ τῆς πλευρᾶς σου.

Η Ἐκκλησία χαίρει, Δημήτριε, σῇ μνήμῃ, Χριστὸν ὑμνολογοῦσα.

Προσκυνοῦμεν πόθῳ, τὴν σὴν εἰκόνα, μάρτυς, εἰς τύπον τῆς μορφῆς σου.

Μὴ παύσῃς, μυροβλύτα, Χριστῷ καθικετεύων ὑπὲρ ἡμῶν σῶν δούλων.

Μυροβλύτα θεῖε, Δημήτριε, εὐχαῖς σε, ῥῦσαι ἡμᾶς γεέννης.

Δόξα.

Ω Τριὰς ἁγία, εὐχαῖς τοῦ Δημητρίε σῶζε πάντα τὸν κόσμον.

Καὶ νῦν.

Πανύμνητε Παρθένε, μετὰ τοῦ μυροβλύτου, ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓ. ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΗΝΑ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὸν μάρτυρα Κυρίου.

Αἱ γενεαὶ πᾶσαι σὲ δοξολογοῦμεν, Μηνᾶ μάρτυς Κυρίου.

Βέλη τῶν τυράννων κατέπτυσας, πολύτλα, Χριστοῦ ὑπὲρ ἀγάπης.

Γεραίρομεν ἐν ὕμνοις τὴν μνήμην σου, θεόφρων Μηνᾶ θαυματοβρύτα.

Δεσπότην τῶν ἁπάντων ἀνδρείως ἐν σταδίῳ ἐκήρυξας, παμμάκαρ.

Εἰδώλων τῶν ἀψύχων κατήργησας τὴν πλάνην τῇ σῇ στεῤῥᾷ ἀθλήσει.

Ζέων θείου πόθου στρατείαν ἐβδελύξω καὶ ὥρμησας βασάνοις.

Ημᾶς τοὺς σὲ τιμῶντας, Μηνᾶ θαυματοβρύτα, φύλαττε ἐκ κινδύνων.

Θελήσει αὐθορμήτῳ, Μηνᾶ, πρὸς τὰς βασάνους προσέδραμες γενναίως.

Ιλέωσαι τὸν Κτίστην ὑπὲρ ἡμῶν εὐχαῖς σε, Μηνᾶ μεγαλομάρτυς.

Καλῶς τοῦ μαρτυρίου διήνυσας τὸν δρόμον καὶ στέφει ἐκομίσω.

Λιταῖς σου ἀθλοφόρε, Μηνᾶ θαυματοβρύτα, σῶζε ἡμᾶς κινδύνων.

Μηνᾶ μεγαλομάρτυς, τιμῶμέν σου τὴν μνήμην σήμερον ἐπαξίως.

Νενίκηκας τυράννων τὴν ὀφρῦν καὶ θράσος, Μηνᾶ, μάρτυς Κυρίου.

Δεσμοὺς καὶ τιμωρίας ὑπὲρ Χριστοῦ ὑπέςης, Μηνᾶ, ἀνδρειοφρόνως.

Ορη προσεπέδης νηστείας ἠγωνίσθης καὶ προσευχαῖς, τρισμάκαρ.

Παλαίστρας μαρτυρίου τοῦ σοῦ, ἀγγέλων δῆμοι ἐξέστησαν ὁρῶντες.

Ρεῖθρα τῶν θαυμάτων ἐκβλύζει ὁ ναός σου τοῖς προσιοῦσι πόθῳ.

Σὺν Βικεντίῳ, μάρτυς, ϗ Βίκτορι τοῖς θείοις σὲ σήμερον ὑμνοῦμεν.

Τριάδα παναγίαν ὑπὲρ ἡμῶν δυσώπει ὡς ἔχων παῤῥησίαν.

Υμνους ἑορτίους προσάδωμέν σοι, μάρτυς, σήμερον τῇ σῇ μνήμῃ.

Φύλαττε ἐκ νόσων, καὶ συμφορῶν καὶ ζάλης τοὺς σέ, Μηνᾶ, τιμῶντας.

Χρεωστικῶς τιμῶμεν σήμερον τὴν σὴν μνήμην ἡμεῖς ὡς πολιοῦχον.

Ψαλμοῖς καὶ ὑμνῳδίαις τελοῦμεν τὴν σὴν μνήμην, Μηνᾶ μεγαλομάρτυς.

Ω Μηνᾶ πολύτλα, ἱκέτευε τῷ Κτίστῃ ὑπὲρ ἡμῶν ἀπαύστως.

Η πόλις αὕτη, μάρτυς, τοῦ Χάνδακος κομπάζει ἔχουσα τὸν ναόν σου.

Δόξα.

Ω Τριὰς ἁγία, Πατήρ, Υἱὸς καὶ Πνεῦμα, ἐλέησον σοὺς δούλους.

Καὶ νῦν.

Πανύμνητε Παρθένε, μετὰ τοῦ ἀθλοφόρου πρέσβευε ὑπὲρ πάντων.



## ΕΙΣ ΤΗΝ ΕΟΡΗΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΓΟΥΡΙΑ, ΣΑΜΩΝΑ ΚΑΙ ΑΒΙΒΟΥ.

Αἱ γενεαὶ πᾶσαι ὑμᾶς μακαριοῦμεν τοὺς ἀθλητὰς Κυρίου.

Αἱ γενεαὶ πᾶσαι ὑμᾶς δοξολογοῦμεν τοὺς μάρτυρας Κυρίου.

Αβιβε, Γουρία καὶ Σαμωνᾶ γενναῖοι, ἡμᾶς περιφρουρεῖτε.

Τριάδος παναγίας ὁμολογοῦντες πίςιν, ὠλέσατε τὴν πλάνην.

Ερύσατε τὴν κόρην ζῶσαν τεθειγμένην τῷ τάφῳ, ἀθλοφόροι.

Ταῖς μητρικαῖς ἀγκάλαις ἐσώσατε τὴν κόρην ταφὴν δοθεῖσαν ζῶσαν.

Τότθῳ παρανόμῳ ἄμυναν πεπραχότες τὸ αἴτημα πληροῖτε.

Ελάβετε τὴν χάριν ἐπιτελεῖν μεγάλα θαύματα ἀθλοφόροι.

Τὴν πλάνην τῶν Ἑλλήνων ἐλύσατε, γενναῖοι, Χριστὸν ὁμολογοῦντες.

Θεὸν ἐν παῤῥησίᾳ ὁμολογοῦντες, θεῖοι, ᾐσχύνατε τυράννους.

Θαύματα μεγάλα εἰς δόξαν τοῦ Κυρίου τελεῖτε καθ᾽ ἑκάστην.

Γουρίαν, Σαμωνᾶν τε καὶ Ἄβιβον συμφώνως σήμερον εὐφημοῦμεν.

Τοὺς ἐκτελοῦντας πίστει, ὑμῶν τὴν θείαν μνήμην ῥύσασθαι τῆς γεέννης.

Ξύλῳ ἀναρτηθέντες ἀνδρειοτέρως πίστιν ἐκήρυττον τὴν θείαν.

Τοῖς αἰκισμοῖς τὸ σῶμα ἐδώκατε, γενναῖοι, ὑπὲρ Χριστὸν ἀγάπην.

Βασάνους πολυπλόκους ἠνέγκατε ἀνδρείως ὡς τοῦ Χριστοῦ ὁπλῖται.

Ισάριθμοι Τριάδος τῆς θείας, ἀθλοφόροι, ἐδείχθητε καὶ μύσται.

Ομολογοῦντες γλώσσῃ μυστήρια τὰ θεῖα, ὠλέσατε ἀθέους.

Τυραννουμένη κόρη δι᾽ ὑμῶν ἀρθεῖσα μητρὶ αὐτῆς ἐδόθη.

Τῶν θλιβομένων πάντων καὶ καταπονουμένων ἐστὲ θερμοὶ προστάται,

Εἰς πάντα οἰκουμένης τὰ πέρατα ἡπλώθησαν θαύματα μαρτύρων.

Εδέσσης τε ἡ δόξα καὶ τῶν πιστῶν προστάται ὑπάρχετε γενναῖοι.

Σήμερον τελοῦμεν πανήγυριν τὴν θείαν ὑμῶν, ὦ ἀθλοφόροι.

Στεφάνους ἐκ Κυρίε ἀξίως τῶν ἀγώνων ἐδέξασθε καὶ πόνων.

Σήμερον ὑμνοῦμεν Γουρία καὶ Ἀβίβου καὶ Σαμωνᾶ τοὺς ἄθλους.

Ως παρεστῶτες ἅμα Τριάδι, ἱκεσίαν ὑπὲρ ἡμῶν τελεῖτε.

Γεραίροντες τοὺς ἄθλες ὑμῶν καὶ τοὺς ἀγῶνας Χριστὸν δοξολογοῦμεν.

Φανῆτε κ᾽ ἐν τῇ κρίσει, ὦ μάρτυρες Κυρίου, ὑπὲρ ἡμῶν προστάται.

Παντοίων τε κινδύνων καὶ νόσων καὶ κακῶν τε ἡμᾶς περιφρουρεῖτε.

Μεγάλην παῤῥησίαν πρὸς τὸν Θεὸν πλουτεῖτε καλῶς ὡς ἠθληκότες.

Πανήγυριν Ἀβίβου, Γουρία Σαμωνᾶ τε σήμερον ἐκτελοῦμεν.

Θαῦμα θαυμάτων πέλει ἡμῶν τὸ μέγα θαῦμα τὸ τελεσθὲν τῇ κόρῃ.

Δόξα.

Ω Τριὰς ἁγία, λιταῖς τριῶν μαρτύρων ῥῦσαι ἡμᾶς θανάτου.

Καὶ νῦν.

Μετὰ τῶν ἀθλοφόρων τὸν σὸν Υἱὸν δυσώπει ὑπὲρ ἡμῶν, Παρθένε.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΑΒΒΑ ΤΟΥ ΗΓΙΑΣΜΕΝΟΥ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, τὸν Ὅσιον Κυρίου.

Ασκητὰ Κυρίου, ἡγιασμένε Σάββα, καὶ ἔζης ἔξω κόσμου.

Ασκητικοὺς ἀγῶνας, διήνυσας, ὦ Σάββα, σκέπε τοὺς σὲ τιμῶντας.

Αγγέλων ἐμιμήσω τὴν πολιτείαν, Σάββα, οἷς νῦν καὶ συναγάλλει.

Βασιλεῖς σοφίζων συνήγορος ἐγένε Συνόδων, Σάββα Πάτερ.

Δογμάτων θείων κῆρυξ ἐφάνης ἐν Συνόδῳ, Σάββα Πατέρων κλέος.

Ισάγγελον ἐκτήσω, ὦ Σάββα, πολιτείαν ἐπὶ τῆς γῆς θεόφρων.

Επόθησας σοφίαν, ἡγιασμένε Σάββα, τὴν θείαν παιδιόθεν.

Μνημόνευε ἀπαύστως ἡμῶν τῶν σὲ ὑμνούντων καὶ δεομένων, Πάτερ.

Ταῖς σαῖς εὐχαῖς, ὦ Σάββα, μνήμην σου τοὺς τελοῦντας ῥῦσαι κακῶν παντοίων.

Ὁ ἐρημολίτης Σάββας ἡμᾶς προτρέπει μνήμην αὐτοῦ τελέσαι.

Σήμερον ἡ σὴ Λαύρα χαίρει προβαλλομένη σέ, Σάββα πολιοῦχον.

Μυρίζει σε ἡ θήκη λειψάνων εὐωδίαν βρύουσα ἰαμάτων.

Ἡ χώρα Ἰορδάνου ἐξήνθησεν ὡς κρίνον δάκρυσι σοῖς ἀρδευθεῖσα.

Ἔξω σαρκὸς καὶ κόσμου ἐγένου, Πάτερ Σάββα, δι' ἀρετῶν ἀνθέων.

Τῶν ἰαμάτων, Σάββα, ἐδείχθης καὶ θαυμάτων πηγὴ πλουσιωτάτη.

Θεῷ σοι προσηνέχθης ἄμωμος ὡς θυσία ἐκ βρέφους, μάκαρ Σάββα.

Πολιστὴς ἐρήμου καὶ καύχημα Ὁσίων ἐδείχθης, θεοφόρε.

Δοχεῖον ὤφθης, Σάββα, λάρνακα τῶν λειψάνων, τῶν σῶν μετ' εὐλαβείας.

Προσκυνοῦμεν, Σάββα, Πνεύματος παναγίου ἐξ ἁπαλῶν ὀνύχων.

Εἰς κλίβανον εἰσέδυς πυρός τε καὶ ἐξῆλθες, μηδὲν βλαβεὶς τρισμάκαρ.

Τῇ σῇ εὐχῇ, ὦ Σάββα, ἐξήγαγες ἐν τόπῳ ἀνύδρῳ ὕδωρ, Πάτερ.

Χορείαις συγχορεύων ταῖς τῶν Ὁσίων, Σάββα, μνήσθητι τῶν σῶν τέκνων.

Δόξα.

Δέσποτα Πανοικτίρμων, εὐχαῖς τοῦ θείου Σάββα, σῶζε τὸν κόσμον πάντα.

Καὶ νῦν.

Μετὰ τοῦ σοῦ Ὁσίου, Παρθένε, τὸν Υἱόν σου ὑπὲρ ἡμῶν δυσώπει.

---

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ
ΠΡΩΤΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΑΡΧΙΔΙΑΚΟΝΟΥ

## ΣΤΕΦΑΝΟΥ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, ὦ πρωτομάρτυς θεῖε.

Ἄγγελος καθάπερ ἐπίγειος ἐφάνης ἐκλάμψας τῷ προσώπῳ.

Ἀρχὴ μαρτύρων, μάκαρ, ἀρχὴ καὶ διακόνων, σὺ Στέφανος, ἐγένου.

Τοὺς οὐρανοὺς σὺ εἶδες ἠνεῳγμένους, μάκαρ, καὶ τοῦ Θεοῦ τὴν δόξαν.

Ἑστὼς ἐν τῷ σταδίῳ ἐκ δεξιῶν σὺ εἶδας Πατρὸς Υἱὸν ἑστῶτα.

Πρῶτος ἐκομίσω στέφανον μαρτυρίου, Στέφανε θεηγόρε.

Τῶν λίθων τὰς νιφάδας, ὑπέφερες γενναίως ὑπὲρ Χριστοῦ ἀγάπης.

Ὑπὲρ τῶν λιθαζόντων προσηύχου, Πρωτομάρτυς, μιμούμενος Δεσπότην.

Στέφανε θεόπτα, ἱκέτευε ἀπαύστως ὑπὲρ τῶν σὲ ὑμνούντων.

Ἀπόστολος καὶ μάρτυς, διάκονος καὶ πρῶτος, ὦ Στέφανε, ἐγένου.

Τὴν μνήμην σου τελοῦμεν, Στέφανε, ἐν ὕμνοις, Χριστὸν δοξολογοῦντες.

Ἐξέχεας τὸ αἷμα πρῶτος διὰ ἀγάπην Χριστοῦ, ὦ πρωτομάρτυς.

Τὴν ἑορτὴν τελοῦντας φύλαττε ἐν εἰρήνῃ, Στέφανε, Πρωτομάρτυς.

Συνῆψαι τὴν σὴν μνήμην Χριστὸς τοῖς γενεθλίοις αὐτοῦ, ὦ Πρωτομάρτυς.

Ὥσπερ ἀδάμας, μάρτυς ὦ Στέφανε, ὑπέστης βαλλόμενος τοῖς λίθοις.

Ὦ Πρωτομάρτυς σκέπε ἡμᾶς τοὺς σὲ τιμῶντας παντοίας ἐπηρείας.

Δόξα.

Τρισήλιε Θεέ μου, λιταῖς τοῦ σοῦ Στεφάνου ῥῦσαι πάντας γεέννης.

Καὶ νῦν.

Παρθενομήτωρ Κόρη μετὰ τοῦ σοῦ Στεφάνου πρέσβευε τῷ Υἱῷ σου.

---

ΕΙΣ ΕΟΡΤΗΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Εὐθύμιε τρισμάκαρ.

Ἄγγελος Κυρίου ἐμήνυσε τὸν τόκον τοῖς σοῖς γονεῦσι, μάκαρ.

Θεῷ ἀφιερώθης ἐκ μητρικῆς κοιλίας, ὡς Σαμουὴλ ὁ θεῖος.

Πνεύματος ἁγίου δοχεῖον ἀνεδείχθης, Εὐθύμιε θεόφρων.

Εὐθυμεῖτε ἔφη Ἄγγελος σοῖς γονεῦσιν, ὅτι φωστὴρ γεννᾶται.

Τῶν μοναζόντων, Πάτερ, ἑδραίωμα ἐγένου καὶ θεία βακτηρία.

Ὀρθοδόξως πᾶσιν, Εὐθύμιε, τὴν πίστιν ἐκήρυξας τὴν θείαν.



Τῇ σῇ γεννήσει πᾶσαι ἐλύθησαν αἱρέσεις, Εὐθύμιε τρισμάκαρ.

Θεράπων τῆς Τριάδος μεγαλοκῆρυξ ὤφθης, Εὐθύμιε, καὶ λάτρης.

Εὐθύμησον, εὐφραίνου ἡ ἔρημος ἡ στεῖρα διὰ τὸν πολιστήν σου.

Χριστοῦ τῇ Ἐκκλησίᾳ εἰρήνη ἐγεγόνει τῇ σῇ γεννήσει, Πάτερ.

Ἱερουργὸς θαυμάτων ὑπερφυῶν ἐγένου τῇ θείᾳ συνεργείᾳ.

Ἱερωσύνης χρίσμα νεύσει Θεοῦ ἐδέχθης ὡς ἄξιος ἐργάτης.

Σοῦ ἱερουργοῦντος στύλος πυρὸς ὡρᾶτο τὸ καθαρὸν δηλῶν σου.

Θεόθεν ἐκομίσω τῆς προφητείας χάριν, Εὐθύμιε παμμάκαρ.

Σημειοφόρε Πάτερ, Εὐθύμιε, δυσώπει ὑπὲρ ἡμῶν τὸ θεῖον.

Θαυμάτων θεία χάρις, Εὐθύμιε, ἐδόθη ἐν σοὶ πλουσιωτάτως.

Ὑπὲρ ἡμῶν δυσώπει τελούντων σου τὴν μνήμην, Εὐθύμιε, τὸν Κτίστην.

Εἰς τύπον τῆς μορφῆς σου εἰκόνα προσκυνοῦμεν τὴν σήν, σημειοφόρε.

Μέγας ἀνεφάνης ἐν θαύμασι καὶ λόγοις φωστὴρ τῆς Ἐκκλησίας.

Ἱκέτευε θεόφρων, Εὐθύμιε, τὸν Πλάστην ὑπὲρ ἡμῶν ἀπαύστως.

Εὐθύμιε θεόφρων, σκέπε ἡμᾶς λιταῖς σου ἐκ πάσης ἐπηρείας.

Δόξα.

Πατήρ, Υἱὲ καὶ Πνεῦμα εὐχαῖς τοῦ Εὐθυμίου ῥῦσαι ἡμᾶς γεέννης.

Καὶ νῦν.

Μετὰ τοῦ σοῦ Ὁσίου ὑπὲρ ἡμῶν δυσώπει τὸν σὸν Υἱόν, Παρθένε.

---

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ

## ΜΕΛΕΤΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Χριστοῦ τὸν Ἱεράρχην.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε, Μελέτιε, θεόφρων.

Ἀρχιεράρχα θεῖε, Μελέτιε, εὐχαῖς σου ἡμᾶς συντήρει πάντας.

Ἀρχιερεὺς Κυρίου ἀμίαντος ἐδείχθης καὶ ἄμεμπτος καὶ πρᾷος.

Ἀντιοχείας θρόνον ἐκόσμησας ἐνθέως λαμπρότητι σοῦ βίου.

Ἀντιοχέων μέγας ποιμήν τε καὶ προστάτης ὑπὸ Θεοῦ ἐχρίσθης.

Βασιλείαν, Πάτερ, οὐράνιον ἐκτήσω Θεῷ εὐαρεστήσας.

Ἔπαρον σὰς χεῖρας πρὸς τὸν Θεὸν καὶ Πλάστην ὑπὲρ ἡμῶν τρισμάκαρ.

Ἐκήρυξας Συνόδῳ Θεὸν τὸ θεῖον Πνεῦμα, Μελέτιε τρισμάκαρ.

Ἐλάμπρυνας ἐνθέως τὴν ἀρχιερωσύνην δι' ἀρετῶν ποικίλων.

Ἔλαμψας ἐν μέσῳ Συνόδου τῆς δευτέρας, ὡς ἥλιος, σοῖς λόγοις.

Ηὔξηνας χορείας τῶν θείων Ἀποστόλων ἐντεῦθεν ἐναθροίσας.

Ἤνεγκας ἐξώσεις, Μελέτιε, σοῦ θρόνου, ὑπὲρ τῆς εὐσεβείας.

Ἰσάγγελος διῆγες, Μελέτιε, ἐν βίῳ καὶ καθαρὸς ἐν πᾶσι.

Μελέτιε τρισμάκαρ, Ἀντιοχείας δόξα, φρούρει τοὺς σὲ τιμῶντας.

Μελέτιε θεόφρων, τοὺς σὲ ὑμνοῦντας ῥῦσαι ἐκ πάσης ἐπηρείας.

Μελέτιε παμμάκαρ, σοὺς ὁμωνύμους σκέπε ταῖς πρὸς Θεὸν λιταῖς σου.

Μακεδονίου λήρους διέλυσας σοῖς λόγοις, ὥσπερ ἱστὸν ἀράχνης.

Προσκυνοῦμεν πάντες σὴν εὐλαβῶς εἰκόνα εἰς τύπον τῆς μορφῆς σου.

Πνευματομάχους, Πάτερ, κατῄσχυνας σοφίᾳ καὶ λόγῳ σὺν δυνάμει.

Πύρινος ῥομφαία Χριστοῦ, σὺ ἀνεδείχθης, σφάττουσα τοὺς ἀθέους.

Πατριαρχῶν τὸ κλέος καὶ διδασκάλων γέρας, Μελέτιε ἐφάνης.

Ῥῦσαι τῶν κινδύνων καὶ τῆς γεέννης, Πάτερ, Μελέτιε, σοὺς δούλους.

Σῶσον, Πανοικτίρμων, τοὺς ὁμολογοῦντας Μελέτιον τὸν μέγαν.

Συνόδου τῆς δευτέρας ὑπέρμαχος ἐδείχθης ἔργοις καὶ λόγοις, Πάτερ.

Τιμῶμεν ἐτησίως τὴν θείαν ἑορτήν σου, Μελέτιε ἐν ὕμνοις.

Τιμᾷ σου Ἐκκλησία μνήμην καὶ ἀγῶνας, οὓς δι' αὐτὴν ὑπέστης.

Ὑπέρμαχος ἐφάνης Ὀρθοδοξίας, Πάτερ Μελέτιε καὶ βάσις.

Ὑπὲρ τῶν ἐκτελούντων, Μελέτιε, σὴν μνήμην ἱκέτευε ἀπαύστως.

Χαίροις, Ἱεράρχα, ἡ κορωνὶς Πατέρων καὶ διδασκάλων κλέος.

Χορείας Ὀρθοδόξων, φύλαττε ἀτρώτους, Μελέτιε, θεόφρων.

Ὡς Ἱεράρχην μέγαν τιμῶμέν σε ἐκ πόθου, Μελέτιε πολύτλα.

Ὦ Πατριάρχα θεῖε, Μελέτιε, εὐχαῖς σου, πάντας ἡμᾶς συντήρει.

Δόξα.

Πάτερ, Υἱὲ καὶ Πνεῦμα λιταῖς τοῦ Μελετίου σῶσον ἡμᾶς σοὺς δούλους.

Καὶ νῦν.

Ἀμόλυντε Παρθένε μετὰ τοῦ Ἱεράρχου ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓ. ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΓΕΩΡΓΙΟΥ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε, Γεώργιε, τρισμάκαρ.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν Χριστοῦ τὸν ἀθλοφόρον.

Φιλομαρτύρων δῆμος, μνήμην τοῦ Γεωργίου ἠθροίσθητε τελέσαι.

Ἡ Καππαδόκων χώρα τιμᾷ ἐν εὐφροσύνῃ τὰ σπάργανά σου, μάρτυς.

Ἡ οἰκουμένη πᾶσα, Γεώργιε, σὴν μνήμην τελεῖ μετ' εὐφροσύνης.

Θωπεῖαι τῶν τυράννων οὐκ ἴσχυσάν σε κάμψαι ψυχὴν γενναίαν, μάρτυς.

Τῶν ἀθλοφόρων δόξα, μεγαλομάρτυς πέλεις, Γεώργιε καὶ κλέος.

Ὀφρῦν τε καὶ τὸ θράσος, καθεῖλες τῶν τυράννων, Γεώργιε, γενναίως.

Εἱρκτὴν, μεγαλομάρτυς, καὶ αἰκισμοὺς ὑπέστης ὑπὲρ Χριστοῦ ἀγάπης.

Τροχῷ κατεσπαράχθης καὶ αἰκισμοὺς ὑπέστης ὑπὲρ Χριστοῦ ἀγάπης.

Ἄγγελος ἐνισχύων ἐξ οὐρανοῦ κατῆλθε θέαμα ξένον ὄντως.

Βασάνους, ἀθλοφόρε, καὶ ἀπειλὰς τυράννων οὐκ ἐπτοήθης ὅλως.

Κώνειον ἐποτίσθης, ἀλλὰ Χριστοῦ δυνάμει μηδὲν ἐβλάφθης, μάρτυς.

Νεκρὸν ἤγειρας, μάρτυς, τῇ θείᾳ προσευχῇ σου, ἐκπλήττων τοὺς ὁρῶντας.

Χριστός σοι ὤφθη, μάρτυς, καθ' ὕπαρ σὲ θαῤῥύνων πρὸς δρόμον μαρτυρίου.

Γλυπτὰ τῆς ἀσεβείας συνέτριψας δυνάμει, Γεώργιε, Κυρίου.

Τῶν αἰχμαλώτων ῥύστης καὶ φύλαξ Ὀρθοδόξων, τροπαιοφόρε, πέλεις.

Ἡ Παλαιστίνη χαίρει, Γεώργιε, πλουτοῦσα σορὸν τῶν σῶν λειψάνων.

Ἆθλά σου τὰ γενναῖα ἐξέστησαν ἀγγέλους, Γεώργιε πολύτλα.

Τῶν αἰχμαλώτων ῥύστης ταχύτατος τυγχάνεις, Γεώργιε θεόφρων.

Θαυμάτων παραδόξων πλουτεῖς τὴν οἰκουμένην, τροπαιοφόρε μάρτυς.

Τὴν χάριν τῶν θαυμάτων εἴληφας, ἀθλοφόρε, βραβεῖον τῶν σῶν ἄθλων.

Τὰ στίφη φιλεόρτων, τελεῖ σου ἐτησίως τὴν μνήμην, ἀθλοφόρε.

Σοὶ ἐξεχύθη χάρις θαυμάτων ἐξαισίως, Γεώργιε θεόφρων.

Τῶν ἀθλητῶν τὰ στίφη τὴν σὴν, θεόφρων, μνήμην, βροτοῖς συνεορτάζει.

Τοὺς τὴν σεπτήν σου μνήμην τελοῦντας, ἀθλοφόρε, ῥῦσαι δεινῶν παντοίων.

Ἡ δόξα τῶν μαρτύρων, λιταῖς σου περιφρούρει τοὺς πανηγυριστάς σου.

Κινδύνων πολυτρόπων, ῥυσθείημεν λιταῖς σου οἱ ὑμνῳδοί σου, μάρτυς.

Δόξα.

Ὦ τρίφωτε Θεέ μου, λιταῖς τοῦ Γεωργίου σῶσον τοὺς σὲ ὑμνοῦντας.

Καὶ νῦν.

Ὑπὲρ ἡμῶν, Παρθένε, μετὰ τοῦ Γεωργίου δυσώπει τὸν Υἱόν σου.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ ΑΠΟΣΤΟΛΩΝ ΤΩΝ ΔΩΔΕΚΑ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σας, Ἀπόστολοι Κυρίου.

Αἱ γενεαὶ πᾶσαι ὑμᾶς μακαριοῦμεν τοὺς κήρυκας τοῦ λόγου.

Λόγε Θεοῦ, Παντάναξ, δός μοι σῷ δούλῳ λόγον, σοὺς μύστας εὐφημῆσαι.



Ἐκ τῶν περάτων κόσμου πᾶς εὐσεβὴς δραμέτω πρὸς ὕμνον Ἀποστόλων.

Τάγματα τῶν Ἁγίων μνήμην τῶν Ἀποστόλων βροτοῖς συνεορτάζει.

Ἡ οἰκουμένη πᾶσα σήμερον ἑορτάζει μνήμην τῶν Ἀποστόλων.

Οἱ κήρυκες τοῦ λόγου σήμερον ἀοράτως ἡμᾶς περιφρουρεῖτε.

Εἰς πᾶσαν γῆν ὁ φθόγγος ἐξῆλθεν Ἀποστόλων, ὡς Προφητάναξ φάσκει.

Κατὰ τὸν Σολομῶντα, ἐφάνητε βολίδες δραμοῦσαι κτίσιν, μύσται.

Εἰς ἅπαντα τὰ ἔθνη ἐστάλητε, θεόπται, ζῶντα Θεὸν κηρύξαι.

Αὐτόπται τοῦ Σωτῆρος, μὴ παύσητε πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ Κτίστῃ.

Πέτρε κορυφαῖε, τῆς πίστεως τῇ πέτρᾳ στῆσον ἡμᾶς λιταῖς σου.

Οὐρανοβάμων Παῦλε, ἡμᾶς λιταῖς σου δεῖξον πολίτας οὐρανίους.

Πρωτόκλητε Ἀνδρέα, σὲ πρῶτον πρὸς τὸν Κτίστην προσφέρομεν μεσίτην.

Βαρθολομαῖε, πάντες ἵλεων τὸν Δεσπότην, λιταῖς σου ποίησόν μοι.

Θωμᾶ ἱεροκήρυξ, εὖξαι ἵνα ῥυσθῶμεν πυρὸς τοῦ αἰωνίου.

Ἀπόστολε Κυρίου, Σίμων, λιταῖς σου πάντες ῥυσθείημεν κινδύνων.

Πάνσοφε Ἰωάννη, τοῖς σὲ προσκαλουμένοις βοήθειαν, παράσχου.

Ἰάκωβε θεόπτα, ὁ παῖς τοῦ Ζεβεδαίου ῥῦσαι ἡμᾶς γεέννης.

Ἰάκωβε Ἀλφαίου δυσώπει τὸν Σωτῆρα ὑπὲρ ἡμῶν ἀπαύστως.

Φίλιππε θεηγόρε, πάντας πιστοὺς συντήρει ἐκ πάσης ἐπηρείας.

Ματθαῖε θεηγόρε, λιταῖς σου πρὸς τὸν Κτίστην ἐξάρπασον κινδύνων.

Ὦ κήρυκες Κυρίου, λιταῖς ὑμῶν πρὸς Κτίστην ἡμᾶς περιφρουρεῖτε.

Ἡ δωδεκὰς τοῦ λόγου σήμερον εὐφημεῖται ὑπὸ παντὸς τοῦ κόσμου.

Χορὸς τῶν Ἀποστόλων, λιταῖς πρὸς τὸν Σωτῆρα ὑπὲρ ἡμῶν ποιεῖσθε.

Ἡ δωδεκὰς ἡ θεία Θεὸν ἐκλιπαροῖτε ἡμᾶς δεινῶν ῥυσθῆναι.

Δόξα.

Ὦ Τριὰς ἁγία, πρεσβείαις τοῦ Ἀνδρέου σῶσον ἡμᾶς πάντας.

Καὶ νῦν.

Παρθένε Θεοτόκε, μετὰ τοῦ Ἱεράρχου ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε Χριστοῦ τὸν Ἱεράρχην.

Τῆς Κρήτης ποιμενάρχης ὑπὸ Θεοῦ ἐχρίσθης, Ἀνδρέα θεοῤῥῆμον.

Ἑώρταζε ἡ Κρήτη τὴν μνήμην σοῦ ποιμένος Ἀνδρέου τοῦ πανσόφου.

Ἀρχιερεὺς τῆς Κρήτης, φρουρός τε ταύτης, Πάτερ, ὑπὸ Θεοῦ ἐδόθης.

Μνήμην σου τοὺς τελοῦντας καὶ σὲ τιμῶντας πόθῳ φύλαττε ἐκ κινδύνων.

Ἀνδρέα θεομήτωρ, ἱκέτευε ἀπαύστως ὑπὲρ τῶν σὲ τιμώντων.

Τὴν ποίμνην σου, Ἀνδρέα, περίσωζε λιταῖς σου ἐκ πάσης ἐπηρείας.

Κατέλιπες, Ἀνδρέα, μέλη πολλὰ καὶ λόγους Χριστοῦ τῇ Ἐκκλησίᾳ.

Ἀνύμνησας Παρθένον, Ἁγίων τε τοὺς πλείστους οἷς νῦν συνεπαγάλλει.

Τὴν Κρήτην περιφρούρει ὡς ποιμενάρχης ταύτης, Ἀνδρέα, σαῖς πρεσβείαις.

Ἁβρύνεται ἡ Κρήτη σὲ σχοῦσα Ποιμενάρχην, Ἀνδρέα, καὶ προστάτην.

Τῶν διδασκάλων, Πάτερ, ἐκλόγιον ἐδείχθης καὶ κλέος, ὦ Ἀνδρέα.

Τῆς Ἐκκλησίας, Πάτερ, μέγας φωστὴρ ἐφάνης, Ἀνδρέα θεοκῆρυξ.

Μὴ παύσῃς ἱκετεύων τὸν Λυτρωτὴν τοῦ κόσμου ὑπὲρ ἡμῶν Ἀνδρέα.

Δόξα.

Ὦ Τριὰς ἁγία, πρεσβείαις τοῦ Ἀνδρέου σῶσον ἡμᾶς πάντας.

Καὶ νῦν.

Παρθένε Θεοτόκε, μετὰ τοῦ Ἱεράρχου ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΗΣ ΑΓ. ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΑΡΙΝΗΣ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε Χριστοῦ τὴν ἀθλοφόρον.

Βασάνους δριμυτάτους ὑπέμεινας γενναίως ὑπὲρ Χριστοῦ, Μαρίνα.

Γένος Ὀρθοδόξων, Μαρίνα, ἑορτάζει σήμερον σοὺς ἀγῶνας.

Ἐδόξασε, Μαρίνα, σὲ ὁ Χριςὸς ἀξίως ὡς δι' αὐτὸν παθοῦσα.

Ἤθλησας, Μαρίνα, ὑπὲρ Χριστοῦ ἀγάπης, καὶ ᾔσχυνας τυράννους.

Θαυμάτων, κόρη, χάριν, παρὰ Χριστοῦ ἐδέξω, Μαρίνα ἀθληφόρε.

Ἐκ νόσων καὶ κινδύνων ταῖς σαῖς εὐχαῖς, Μαρίνα, λύτρωσαι τοὺς σοὺς δούλους.

Λειψάνων σου τὴν θήκην πιστῶς νῦν προσκυνοῦμεν, Μαρίνα ἀθληφόρε.

Μαρίνα καλλιμάρτυς, ἐπάκουσόν μου τάχος, θερμῶς σὲ προσκαλοῦντος.

Μαρτύρων καὶ παρθένων ὡραΐσμα καὶ κλέος Μαρίνα, σὺ ὑπάρχεις.

Μαρίνα τοὺς τελοῦντας σὴν ἑορτὴν, λιταῖς σου, περίσωζε ἀτρώτους.

Μαρίνα ἀθληφόρε, ἱλέωσαι τὸν Κτίστην ἡμῖν ταῖς σαῖς πρεσβείαις.

Μαρίνα Χριστοῦ νύμφη, ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν τὸν Πλάστην.

Προσκυνοῦμεν πόθῳ, Μαρίνα, σὴν εἰκόνα, εἰς τύπον τῆς μορφῆς σου.

Πανευλαβῶς, Μαρίνα, προστρέχομεν ναῷ σου σὲ εὐφημοῦντες ὕμνοις.

Τὰ βέλη τῶν τυράννων συνέτριψας, Μαρίνα, τῇ σῇ στεῤῥᾷ ἀθλήσει.

Τὰς τοῦ ἐχθροῦ παγίδας τὰς καθ' ἡμῶν, Μαρίνα, διάλυσον λιταῖς σου.

Τελοῦμέν σου τὴν μνήμην ἐν ὕμνοις, ὦ Μαρίνα, Χριστὸν δοξολογοῦντες.

Τοῦ Ὀλυμβρίου θράσος κατῄσχυνας, Μαρίνα, καὶ πάσας ἐπινοίας.

Τοὺς ἐπιτελοῦντας σὴν ἑορτὴν, Μαρίνα, λύτρωσαι τῆς γεέννης.

Τοὺς τῷ ναῷ σου, μάρτυς, προστρέχοντας, Μαρίνα, φύλαττε ἐν εἰρήνῃ.

Παρθενομάρτυς ἅμα Παρθένοις ταῖς φρονίμοις, Μαρίνα συγχορεύεις.

Τὸν σὸν ναὸν, Μαρίνα, κεκτήμεθα ὡς μέγα νοσοῦντες ἰατρεῖον.

Τοὺς συναθροισθέντας σῇ ἑορτῇ, Μαρίνα, ῥῦσαι παντοίας βλάβης.

Εἰς ἔτη πλεῖστα, μάρτυς ἀξίωσον τελεῖν σε ἡμᾶς τὴν ἑορτήν σου.

Δόξα.

Χριςέ μου ἀθλοθέτα, Μαρίνης ταῖς πρεσβείαις σῶσον ἡμᾶς τοὺς πάντας.

Καὶ νῦν.

Πανύμνητε, ὦ μῆτερ, μετα τῆς ἀθληφόρου ὑπὲρ ἡμῶν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΗΣ ΑΓΙΑΣ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ

## ΠΑΡΑΣΚΕΥΗΣ.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε Χριστοῦ τὴν ἀθληφόρον.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν Ὁσιομάρτυς κόρη.

Ἀθληφόρε μάρτυς, Παρασκευὴ, λιταῖς σου, φρούρει ἡμᾶς κινδύνων.

Ἀθληφόρε κόρη, Παρασκευὴ, σὲ πόθῳ ὑμνοῦμεν καὶ τιμῶμεν.

Ἀντωνίου θράσος, κατέβαλες, παρθένε, τῇ σῇ στεῤῥᾷ ἐνστάσει.

Διπλοῦν ἐδέξω στέφος ἀσκήσεως ὁμοῦ τε ἀθλήσεως συνάμα.

Ἐκήρυξας σταδίῳ Χριςὸν ἐν παῤῥησίᾳ Θεὸν σωματωθέντα.

Ἐν ταῖς αὐλαῖς Κυρίου παρθένοις συγχορεύεις, ἐκείναις ταῖς φρονίμοις.

Θαλάμων οὐρανίων, παρθένε, ἠξιώθης, ὡς Μάρτυς καὶ Ὁσία.

Κάλαμον καὶ σπόγγον, στέφανον, σταυρόν τε σημεῖα ἐθεάσω.

Μαρτύρων καὶ Ὁσίων ὁμόσκηνος ὡς οὖσα, ὑπὲρ ἡμῶν δυσώπει.

Μνήμην σου τῶν πόθῳ, σὴν ἑορτὴν τελούντων, Παρασκευὴ θεόφρων.

Δεσμοὺς τοὺς τῆς σαρκός σου ὑπέμεινας καὶ πόνους, Παρασκευὴ, ἀνδρείως.

Ὁσιομάρτυς κόρη, Παρασκευὴ, δυσώπει ὑπὲρ ἡμῶν τὸν Πλάστην.

Παρασκευὴ τὸ κλέος Μαρτύρων καὶ Ὁσίων ῥῦσαι ἡμᾶς γεέννης.

Παρασκευὴ ἡ δόξα Παρθένων καὶ Μαρτύρων, σκέπε ἡμᾶς λιταῖς σου.

Παρθένε καὶ Ὁσία καὶ Μάρτυς τοῦ Κυρίου φρούρει τοὺς σὲ τιμῶντας.

Πλάκα βαρυτάτην τοῖς στέρνοις σου τεθεῖσαν ὑπέφερες γενναίως.



Σίδηρον καυθέντα ὑπέμεινας ἀνδρείως σῇ κεφαλῇ τεθέντα.

Σπαργάνων ἐκ μητρῴων Θεῷ προσανετέθης, Παρασκευὴ θεόφρων.

Τὰς ἀλγηδόνας, μάρτυς, καὶ βράσματα λεβήτων ἀνδρείως ἐκαρτέρεις.

Τὴν χάριν ἐκομίσω, Παρασκευὴ, ἰᾶσθαι νοσήματα παντοῖα.

Τας μάστιγας καὶ πόνους ὑπέφερες γενναίως ὑπὲρ Χριστοῦ ἀγάπης.

Τὸν σὸν ναὸν πλουτοῦμεν ὡς μέγα ἰατρεῖον, ποικίλων νοσημάτων.

Τοὺς τῷ ναῷ σου πόθῳ προσερχομένους σκέπε ἐκ θλίψεων καὶ νόσων.

Τὴν σὴν εἰκόνα πάντες προσκυνοῦμεν, μάρτυς, Παρασκευὴ, ἐκ πόθου.

Τὴν πόλιν ταύτην σκέπε, Παρασκευὴ, ἐκ πάντων κακῶν καὶ νοσημάτων.

Ὑπέστης φλεγομένη, Παρασκευὴ, μασχάλας ὑπὲρ Χριστοῦ ἀγάπης.

Χαίροις Παρθενομάρτυς, Παρασκευὴ Ὁσία καὶ Μάρτυς τοῦ Κυρίου.

Ὡς παῤῥησίαν σχοῦσα πρὸς τὸν Χριστὸν ἀπαύστως πρέσβευε ὑπὲρ πάντων.

Δόξα.

Ὦ τρίφωτε Θεέ μου σῶσον ἡμᾶς πρεσβείαις τῆς θείας ἀθληφόρου.

Καὶ νῦν.

Παρθένε Θεοτόκε, μετὰ τῆς ἀθληφόρου τὸν σὸν Υἱὸν δυσώπει.

---

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

Αἱ γενεαὶ πᾶσαι ὑμᾶς μεγαλυνοῦμεν ἅπαντας τοὺς ἁγίους.

Αἱ γενεαὶ πᾶσαι ὕμνοις μακαριοῦμεν ὑμᾶς, ἅγιοι πάντες.

Δῆμος φιλοχρίστων ἀθροίσθητε τελέσαι μνήμην ἁγίων πάντων.

Οἱ ἐν τῷ κόσμῳ δεῦτε ᾠδὴν ᾄσωμεν πάντες τοῖς δούλοις τοῦ Κυρίου.

Θάλασσα, γῆ καὶ πόλος τελεῖ τὴν θείαν μνήμην ὑμῶν, ἅγιοι πάντες.

Ἄγγελοι σὺν ἀνθρώποις πανήγυριν τελοῦσι τὴν τῶν ἁγίων πάντων.

Κατὰ τὸν Σολομῶντα, δίκαιοι ὄντως ζῶσιν εἰς πάντας τοὺς αἰῶνας

Χορὸς τῶν Ἀποστόλων ὑπὲρ ἡμῶν τῷ Κτίστῃ μὴ παύσησθε πρεσβεύειν.

Χορὸς τῶν Ὀρθοδόξων ὑμᾶς μακαριοῦμεν, Ἀπόστολοι Κυρίου.

Εἰς πᾶσαν γῆν ἐξῆλθεν ὁ φθόγγος Ἀποστόλων, Δαβὶδ καθάπερ ψάλλει.

Τῶν Προφητῶν τὰ στίφη χοροῖς τοῖς τῶν δικαίων ἐνθέως νῦν συγχαίρει.

Τὴν σάρκωσιν τοῦ Λόγου προείδατε, ἐμπνεύσει Πνεύματος, ὦ Προφῆται.

Προφῆται τοῦ Ὑψίστου Μωσῆ, Δαβὶδ, σὺν ἄλλοις ἡμᾶς περιφρουρεῖτε.

Δῆμος ἀθλοφόρων στέφεται σὺν τοῖς ὕμνοις ὑπὸ τῶν φιλοχρίστων.

Ἆθλα τὰ τῶν μαρτύρων ἐξίσταντο ὁρῶντες ἄγγελοι οὐρανόθεν.

Ἰδοὺ νέφος μαρτύρων, οὕς περ πρὸς τὸν Δεσπότην προβάλλομεν μεσίτας.

Ἰδοὺ στρατὸς ὁ θεῖος, ὅν περ κατ' ἐναντίων ἔχομεν ἐπικούρους.

Ἱεραρχῶν χορεῖαι σήμερον συγκαλοῦσιν ἡμᾶς πρὸς εὐφημίαν.

Ἡ οἰκουμένη πᾶσα τὴν μνήμην Ἱεράρχαι, ὑμῶν πανηγυρίζει.

Ὦ θεῖοι Ἱεράρχαι λιταῖς ὑμῶν πρὸς Κτίςην ὑμᾶς περιφρουρεῖτε.

Τὰ τάγματα δικαίων χαίρουσιν ἐν τῇ μνήμῃ τῶν θεραπόντων Κτίστου.

Θεράποντες Κυρίου ὑπὲρ ἡμῶν τὸν Κτίστην ἀεὶ ἐκδυσωπεῖτε.

Ἀσκητικοὶ ἀγῶνες ἐξέστησαν τοὺς νόας ὑμῶν, Ὅσιοι πάντες.

Ὀστᾶ τὰ τῶν ἁγίων δαίμονας ἀπελαύνει θαῦμα φρικῶδες τοῦτο.

Χορὸς τῶν ἀθλοφόρων ἡμᾶς περιφρουρεῖτε, λιταῖς ὑμῶν πρὸς Κτίστην.

Χορὸς τῶν Ἀποστόλων ῥύσασθαι ἡμᾶς πάντας ἐκ βλάβης καὶ κινδύνου.

Προφῆται τοῦ Ὑψίστου ὑμᾶς οἱ εὐφημοῦντες ῥυσθείησαν κινδύνων.

Δῆμος τῶν Ὁσίων ὑπὲρ ἡμῶν τὸ θεῖον ἐκλιπαρεῖν μὴ παύσῃ.

Χορὸς ὁ τῶν δικαίων ὑμᾶς οἱ νῦν τιμῶντες γεέννης λυτρωθεῖεν.

Δόξα.

Τρισήλιε Θεέ μου λιταῖς ἁγίων πάντων σῶσον ἡμᾶς σοὺς δούλους.

Καὶ νῦν.

Πανάμωμε Παρθένε ὑπὲρ ἡμῶν δυσώπει τὸν σὸν Υἱὸν καὶ Κτίστην

---

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ

**ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΟΡΤΥΝΗΣ.**

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε Χριστοῦ Ἱερομάρτυς.

Γορτύνης Ἱεράρχης καὶ μάρτυς τοῦ Σωτῆρος, Κύριλλε ἐδείχθης.

Γορτύνης ἐκκλησίαι γεραίρουσι, πολύτλα, τὴν σὴν ἁγίαν μνήμην.

Τὰ πλήθη τῆς Γορτύνης, προστάτην σὲ πλουτοῦντες, Χριστὸν δοξολογοῦμεν.

Ἐποίμανας Γορτύνην Ἀρχιερεὺς ὡς θεῖος, ὦ Κύριλλε τρισμάκαρ.

Ἐξέχεας τὸ αἷμα τὸ σὸν, Ἱερομάρτυς, ὑπὲρ Χριστοῦ ἀγάπης.

Ἡγίασας τὴν Κρήτην τῇ χύσει σῶν αἱμάτων, ὦ Κύριλλε παμμάκαρ.

Ἡ Κρήτη σὲ γινώσκει μέγαν προστάτην ταύτης καὶ πρὸς Θεὸν ἱκέτην.

Ἑορτάζει Κρήτη σήμερον σὴν μνήμην, ὦ Κύριλλε ἐν ὕμνοις.

Φύλαττε λιταῖς σϐ, ὦ Κύριλλε, τὴν Κρήτην ἐκ πάσης ἐπηρείας.

Κρῆτας σὲ τιμῶντας, ὦ Κύριλλε, εὐχαῖς σου λύτρωσαι ἐκ κινδύνων.

Προσκυνοῦμεν πίστει τὰ λείψανά σου, πάτερ Κύριλλε θεοφάντωρ.

Μὴ παύσῃς ἱκετεύων ὑπὲρ ἡμῶν τὸ θεῖον, ὦ Κύριλλε πολύτλα.

Τῆς Ἀρχιερωσύνης ἐφοίνιξας, θεόφρων, ςολὴν τοῖς αἵμασί σου.

Ἀρχιερέων δόξα καὶ τῶν Μαρτύρων κλέος, ὦ Κύριλλε ἐδείχθης.

Ὦ Κύριλλε πολύτλα, σοὺς διαδόχους σκέπε ταῖς πρὸς Θεὸν εὐχαῖς σου.

Δόξα.

Τρισήλιε Θεέ μου, Κυρίλλου ἱκεσίαις ῥῦσαι ἡμᾶς γεέννης.

Καὶ νῦν.

Πανύμνητε Παρθένε μετὰ τοῦ σοῦ Κυρίλλϐ ὑπὲρ ἡμῶν δυσώπει.

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

**ΓΟΒΔΕΛΑΑ.**

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε Χριστοῦ τὸν ἀθλοφόρον.

Ἀθλοφόρε μάρτυς, γεραίρομεν ἐν ὕμνοις σήμερον τὴν σὴν μνήμην.

Βασάνους ἀνυποίστους, Γοϐδελαὰ, ὑπέστης ὑπὲρ Χριστοῦ ἀγάπης.

Γοϐδελαὰ πολύτλα, ὑμνοῦμεν σοὺς ἀγῶνας, οὓς ἤνεγκας γενναίως.

Δεσπότην τῶν ἁπάντων ἐκήρυξας σταδίῳ, Χριστὸν ἐν παῤῥησίᾳ.

Ἐνώπιον πατρός σου τοῦ δυσεϐοῦς τυράννου, Χριστὸν καθωμολόγεις.

Ζωὴν ἐπιποθήσας τὴν ἐν Χριστῷ, πολύτλα, βασάνους καθυπέστης.

Ἡ ἀδελφή σου, μάρτυς, προσῆλθε τῷ Κυρίῳ ἐκ σοῦ ὁδηγηθεῖσα.

Θεὸν ἐπέγνως, μάρτυς, καὶ τοῦτον τοῖς τυράννοις ἐκήρυξας ἀνδρείως.

Ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν τῷ Κτίστῃ, Γοϐδελαὰ τρισμάκαρ.

Κατὰ τὴν θείαν ῥῆσιν, ὁ σὸς πατὴρ θανάτῳ παρέδωκέ σε, μάρτυς.

Λαὸς τῶν Ὀρθοδόξων σήμερον σὲ δοξάζει, ἀθλήσαντα γενναίως.

Μακαρίζομέν σου τοὺς ἄθλους καὶ τὴν μνήμην, Γοϐδελαὰ ἐν ὕμνοις.

Νεότητα παρεῖδες, Γοϐδελαὰ, ἀθλήσας ἀγῶνας μαρτυρίου.

Δεσμοὺς καὶ τιμωρίας τοῦ σοῦ πατρὸς ὑπέστης ὑπὲρ Χριστοῦ ἀνδρείως.

Ὀξέσιν ἐκεντήθης καλάμοις καὶ ἐσύρθης εἰς τὰς ὁδοὺς καὶ πέτρας.

Πολλὰς βασάνους ἔτλης ὑπὲρ Χριστοῦ γενναίως παρὰ τοῦ σὲ τεκόντος.

Ῥῦσαι ἡμᾶς λιταῖς σου βασάνων αἰωνίων, ὡς παῤῥησίαν ἔχων.

Σαϐώριον ἠρνήσω τὸν σὸν πατέρα, μάρτυς, καὶ τῷ Χριστῷ ἡνώθης.

Τοὺς ἐπιτελοῦντας τὴν ἑορτήν σου σκέπε, Γοϐδελαὰ λιταῖς σου.

Ὑπὲρ ἡμῶν δυσώπει, Γοϐδελαὰ, τὸν Κτίστην, μεγαλομάρτυς θεῖε.

Φύλαττε σοὺς δούλους, Γοϐδελαὰ, ἐκ πάσης βλάϐης τῶν ἐναντίων.



Χαίροις ἐν Κυρίῳ, μεγαλομάρτυς θεῖε, Γοϐδελαὰ, πολύτλα.

Δόξα.

Ψαλμοῖς σὲ ἀνυμνοῦμεν, Θεέ μϐ Παντοκράτωρ, Γοϐδελαὰ τῇ μνήμῃ.

Καὶ νῦν.

Ὦ Παναγία Κόρη, μετὰ τοῦ ἀθλοφόρου ὑπὲρ ἡμῶν δυσώπει.

ΚΟΝΤΑΚΙΟΝ ΤΟΥ ΑΥΤΟΥ.

Ἐπεφάνης σήμερον.

Τῶν Περσῶν φρυάγματα κατεπατήθη, τῇ στεῤῥᾷ ἀθλήσει σϐ, Γοϐδελαὰ καρτερικὲ, καὶ γὰρ ἀνδρείως ὑπήνεγκας, τοῦ σοῦ πατρὸς δεινὰ κολαστήρια.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΤΟΥ ΑΥΤΟΥ.

Πρὸς τὸ Ἐν πνεύματι τῷ ἱερῷ.

Σαϐώριον τὸν δυσεϐῆ νουνεχῶς ἀπηρνήθης, πατέρα σϐ, ὡς ἄθεον καὶ τὸν πάντων Δεσπότην ἐπέγνως, σὺ ὄντως μάκαρ καὶ βασάνους ἤνεγκας, καὶ ἤθλησας ἐν ἀνδρείᾳ· ὅθεν σε νικητικοῖς ἐστεφάνωσε Χριςὸς, Γοϐδελαὰ, ἐν στεφάνοις.

---

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

**ΚΛΗΜΕΝΤΟΣ ΠΑΠΑ ΡΩΜΗΣ.**

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Ἱερομάρτυς θεῖε.

Ἀγκύρας σῆς πατρίδος ἀρχιερεὺς ἐχρίσθης ψήφῳ Θεοῦ, ὦ Κλήμη.

Ἀγκύρᾳ σῇ πατρίδι τὴν κεφαλὴν ἐτμήθης ὑπὲρ Χριστοῦ ἀγάπης.

Ἀρχιερεὺς καὶ Μάρτυς Χριστοῦ ἐδείχθης, Κλήμη, Ἱερομάρτυς θεῖε.

Βασάνων πᾶσαν ἔτλης ἰδέαν, θεῖε Κλήμη, ὑπὲρ Χριστοῦ ἀγάπης.

Θέατρον ἐγένου, τῇ οἰκουμένῃ πάσῃ διὰ τοῦ μαρτυρίου.

Κατέπληξας ἀγγέλους τῇ καρτερίᾳ, Κλήμη, τῶν σῶν γενναίων ἄθλων.

Βασάνους πολυπλόκους καὶ πόνους ἀμετρήτους ὑπὲρ Χριστοῦ ὑπέστης.

Διήνυσας τὸν βίον τοῖς ἄθλοις ὅλον, Κλήμη, τοῦ θείου μαρτυρίου.

Ἐϐάπτισας, ὦ Κλήμη, τὸν σύναθλόν σου, μάκαρ, Ἀγαθάγγελον θεῖον.

Συνήθλησας, ὦ Κλήμη, Ἀγαθαγγέλῳ θείῳ ὑπὲρ ἀγάπης Κτίστου.

Περιστερᾷ ἐν εἴδει ὠράθη ἄνωθέν σϐ, ἱερϐργοῦντος, Πνεῦμα.

Διήνυσας ἀγῶνας καὶ πόνους καὶ βασάνους πολυειδεῖς, ὦ Κλήμη.

Βαφαῖς τῶν σῶν αἱμάτων ἐφαίδρυνας, ὦ Κλήμη, τὴν Ἀρχιερωσύνην.

Σὺν τῷ Ἀγαθαγγέλῳ, ἤθλησας, ὦ Κλήμη, ὑπὲρ Χριστοῦ γενναίως.

Σήμερον ὑμνοῦμεν τοὺς ἄθλους καὶ ἀγῶνας, οὓς ἔτλης, θεῖε Κλήμη.

Ὡς Ἱεράρχης, Κλήμη, καὶ μάρτυς παῤῥησίαν πλουτεῖς πρὸς τὸν Σωτῆρα.

Ἱερομάρτυς Κλήμη, σκέπε τοὺς ἐκτελοῦντας τὴν θείαν ἑορτήν σου.

Ὅτε ἱερούργεις ἐν τῷ Ναῷ Κυρίου προσήχθης ὡς θυσία.

Σοὶ αἷμα προσεμίχθη αἵματι τοῦ Δεσπότου σφαγέντος σου τραπέζης.

Κλῆμα τῆς ἀμπέλου Χριςοῦ ὤφθης, ὦ Κλήμη, ἐν παῤῥησίᾳ, μάκαρ.

Διήνυσας τὸν βίον διὰ τοῦ μαρτυρίου, ὑπὲρ Χριστοῦ, ὦ Κλήμη.

Δόξα.

Ὦ Τριὰς ἁγία, Κλήμεντος ἱκεσίαις ῥῦσαι ἡμᾶς γεέννης.

Καὶ νῦν.

Ἀμόλυντε Παρθένε, τὸν σὸν Υἱὸν δυσώπει, ὑπὲρ ἡμῶν ἀπαύστως.

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

**ΑΝΤΩΝΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ,**

(Ποίημα Ῥεθύμνης καὶ Αὐλοποτάμου Καλλινίκου Ἡρακλειώτου τοῦ Κρητός).

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Ἀντώνιε τρισμάκαρ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε, Ἀντώνιον τὸν μέγαν.

Πνεύματος ἁγίου δοχεῖον ἀνεδείχθης, Ἀντώνιε θεόφρων.

Ὀρθοδόξως πᾶσιν, Ἀντώνιε τὴν πίστιν ἐκήρυξας τὴν θείαν.

Ἔζησας ὁσίως καὶ ὑπερκοσμίως, Ἀντώνιε παμμάκαρ.

Ἐν ὄρεσι διῆγες τὸν βίον σου, παμμάκαρ, ἐν ἀρετῇ Κυρίου.

Σκληρὰν ζωὴν διῆλθες ἀγάπῃ τοῦ Κυρίου, Ἀντώνιε παμμάκαρ.

Ἐν γήρᾳ βαθυτάτῳ ὑπέμεινας ὁσίως καὶ ἔλαβες στεφάνους.

Διὰ τὴν αἰωνίαν Κυρίου βασιλείαν ὑπέμεινας ἀνδρείως.

Ἀπέλαβες τὴν νίκην τοῦ κόσμου θεαρέστως, διὸ καὶ ἐδοξάσθης.

Τὸ κρύος καὶ τὸ καῦμα ὑπέμεινας γενναίως ἐν ὅλῃ τῇ ζωῇ σου.

Διὸ καὶ ἐδοξάσθης παρὰ Θεοῦ Κυρίου ἐν αἰωνιοζωΐᾳ.

Τὸν ἄρχοντα τοῦ σκότους καθεῖλες θεαρέστως σταυροῦ τῇ σημειώσει.

Σημαιοφόρε Πάτερ Ἀντώνιε δυσώπει ὑπὲρ ἡμῶν τὸ θεῖον.

Θαυμάτων θεία χάρις Ἀντώνιε ἐδόθη ἐν σοὶ πλουσιωτάτως.

Ὑπὲρ ἡμῶν δυσώπει τελούντων σου τὴν μνήμην, Ἀντώνιε, τὸν Κτίστην.

Εἰς τύπον τῆς μορφῆς σου εἰκόνα προσκυνοῦμεν τὴν σὴν σημαιοφόρε.

Μέγας ἀνεφάνης ἐν θαύμασι καὶ λόγοις φωστὴρ τῆς Ἐκκλησίας.

Ἱκέτευε, θεόφρων Ἀντώνιε, τὸν Πλάστην ὑπὲρ ἡμῶν ἀπαύστως.

Ἀντώνιε παμμάκαρ, σκέπε ἡμᾶς λιταῖς σου ἐκ πάσης ἐπηρείας.

Ἀντώνιε παμμάκαρ, ῥῦσαι ἡμᾶς τελείως καὶ ἐκ τῆς ποδαλγίας.

Ῥῦσαι τὸν σὸν ἱκέτην, Καλλίνικον Ῥεθύμνης ἐκ ταύτης τε τῆς νόσου.

Ἐδόθη σοι, παμμάκαρ, ἡ χάρις ἐκ τοῦ θείου ἰᾶσθαι ποδαλγίαν.

Ἴασον, θεοφόρε, πάντας ἡμᾶς ἐκ νόσου αὐτῆς τῆς ποδαλγίας.

Προστρέχομέν σοι, Πάτερ, αἰτοῦντες τοῦ ἰᾶσθαι αὐτῆς τῆς ποδαλγίας.

Δόξα.

Πάτερ, Υἱὲ καὶ Πνεῦμα εὐχαῖς τοῦ Ἀντωνίου ῥῦσαι ἡμᾶς γεέννης.

Καὶ νῦν.

Μετὰ τοῦ Ἀντωνίου ὑπὲρ ἡμῶν δυσώπει τὸν σὸν Υἱὸν, Παρθένε.

---

ΕΙΣ ΤΗΝ ΕΟΡΗΝ ΤΩΝ ΑΓΙΩΝ

**ΤΕΣΣΑΡΩΝ ΝΕΩΝ ΜΑΡΤΥΡΩΝ**

ΤΩΝ ΕΝ ΡΕΘΥΜΝΗι ΤΗΣ ΚΡΗΤΗΣ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ.

(Ποίημα Ῥεθύμνης καὶ Αὐλοποτάμου Καλλινίκου Νικολετάκη, τοῦ Κρητός).

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σας τοὺς μάρτυρας Κυρίου.

Ἀξίως εὐφημοῦμεν μάρτυρας τοὺς θείους τοὺς ἐκ τῆς Ῥεθύμνης.

Ὑπέστησαν βασάνους οὗτοι παρὰ τυράννου ἀρνήσασθαι τὴν πίστιν.

Πατρῴαν τε καὶ θείαν Χριστοῦ τε τοῦ Κυρίου τοῦ πάντων Βασιλέως.

Οὐδόλως ὑπακούουν ἀλλὰ στεῤῥῶς πιστεύουν θρησκείαν τε τὴν θείαν.

Οὐ βάσανα, οὐδ' ἄλλα φόβητρα τυραννίας τοὺς Μάρτυρας φοβοῦσι.

Στεῤῥῶς ὑπὲρ Κυρίου θάνατον ἐξαιτοῦνται οἱ μάρτυρες οἱ θεῖοι.

Ἀτίμως θανατώνουν τοὺς μάρτυρας Κυρίου τύραννοι οἱ ὠμῶται.

Στεφάνους μαρτυρίου ἀξίως τε λαμβάνουν παρὰ Χριστοῦ Κυρίου.

Σὺν τοῖς χοροῖς Μαρτύρων ἀγάλλονται καὶ οὗτοι οἱ Μάρτυρες Κυρίου.

Ἀγάλλεται ἡ Κρήτη σήμερον ἐν τῇ μνήμῃ τεσσάρων τε μαρτύρων.

Ἡ Ῥέθυμνα δὲ αὖθις μαρτύρων μνήμην ἄγει σήμερον γηθοσύνως:



Οἱ κάτοικοι δὲ ταύτης εὐσεβῶς δοξάζουν Μάρτυράς τε τοὺς θείους.

Ὦ Μάρτυρες Κυρίου πρεσβεύετε Κυρίῳ ὑπὲρ τῶν Ῥεθυμνίων.

Πρεσβεύετε Κυρίῳ ὑπὲρ τοῦ Καλλινίκου Ῥεθύμνης ἀρχιθύτου.

Αἱ κάραι τῶν Μαρτύρων τὴν Ῥέθυμναν πλουτίζουν διὰ πολλῶν θαυμάτων.

Οἱ τάφοι τῶν Μαρτύρων ἐν κώμῃ Περβολίων ὑπάρχουσι καὶ κεῖνται.

Τὰ τέκνα τῶν Μαρτύρων ἀθροίζοντ' ἐν Ῥεθύμνῃ, δοξάζοντες Κυρίῳ.

Μετὰ τῶν Ῥεθυμνίων τὴν ἑορτὴν ποιοῦσι μηνὶ τῷ Ὀκτωβρίῳ.

Πρεσβεύετε Κυρίῳ τετράριθμοι Μαρτύρων ὑπὲρ τῶν εὐφημούντων.

Δόξα.

Τρισήλιε Θεέ μου, πυρὸς ἐκ τῆς γεέννης ῥῦσαι ἡμᾶς σοὺς δούλους.

Καὶ νῦν.

Πανάχραντε Παρθένε, ὑπὲρ ἡμῶν μὴ παύσῃς πρεσβεύειν τῷ Υἱῷ σου.

**ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΘΕΩι ΔΟΞΑ.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.


| | Σελ. |
|---|---|
| ΑΚΟΛΟΥΘΙΑ τῶν Τεσσάρων Νέων τοῦ Χριστοῦ Μαρτύρων Ἀγγελῆ, Μανουὴλ, Γεωργίου ϗ Νικολάου, τῶν ἐν Ῥεθύμνῃ τῆς Κρήτης μαρτυρησάντων, ψαλλομένη τῇ ΚΗʹ. Ὀκτωβρίου . . . . . . . . . | 3 |
| ΑΚΟΛΟΥΘΙΑ τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Στυλιανοῦ τοῦ Παφλαγόνος, ψαλλομένη τῇ ΚϚʹ. Νοεμβρίου . . . . . | 13 |

ΜΑΚΑΡΙΣΤΗΡΙΑ ΔΙΑΦΟΡΩΝ ΑΓΙΩΝ.

| | |
|---|---|
| Εἰς τὴν Ἑορτὴν τῶν Εἰσοδίων, Νοεμβρίου 21. | 16 |
| » » » τῆς Κοιμήσεως τῆς Θεοτόκου, Αὐγούστου 15. . . . . | 17 |
| Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου, Φεβρουαρ. 2. | — |
| Εἰς τὴν Σύναξιν τοῦ Τιμ. Προδρόμου, Ἰαν. 7. | 18 |
| Εἰς τὴν Μετάστασιν Ἰωάννου τοῦ Θεολόγου, Σεπτεμβρίου 26. . . . . | — |
| Εἰς τὴν Ἑορτὴν Ἰω. τοῦ Χρυσοστόμου Νοεμ. 13 | 19 |
| » » » τοῦ ἁγίου Νικολάου, Δεκεμβρ. 6. | 20 |
| » » » τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης, Νοεμβρίου 25. . . | 21 |
| » » » τοῦ ἁγίου Χαραλάμπους, Φεβρουαρίου 10 . . . . . . | 22 |
| » » » τῶν Τριῶν Ἱεραρχῶν, Ἰαν. 30. | 23 |
| » » » τοῦ Ὁσίου Ἐφραὶμ τοῦ Σύρου, Ἰανουαρίου 28. . . . . . | — |
| Εἰς τὴν Μεταμόρφωσιν τοῦ Σωτῆρος, Αὐγ. 6. | 24 |
| Εἰς τὴν ἀποτομὴν τοῦ Τιμ. Προδρόμου Αὐγ. 29. | — |
| Εἰς τὴν Ἑορτὴν τοῦ ἁγίου Σώζοντος, Σεπτ. 7. | 25 |
| » » » τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου, Ὀκτωβρ. 26 . . . | — |
| » » » τοῦ ἁγίου μεγαλομάρτυρος Μηνᾶ, Νοεμβρίου 11. . . . . | 26 |
| Εἰς τὴν Ἑορτὴν τῶν ἁγίων μαρτύρων Γουρία, Σαμωνᾶ ϗ Ἀβίβου, Νοεμβρ. 15. | 27 |
| » » » τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου, Δεκεμβρίου 5. | — |
| » » » τοῦ ἁγίου πρωτομάρτυρος ϗ ἀρχιδιακ. Στεφάνου, Δεκεμ. 27. | 28 |
| » » » τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου, Ἰανουαρίου 20. . | — |
| » » » τοῦ ἁγίου Μελετίου Ἀντιοχείας, Φευρουαρίου 12. . . . . | 29 |
| » » » τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, Ἀπριλίου 23. . . . | 30 |
| » » » τῶν ἁγίων Ἀποστόλων, τῶν 12, Ἰουνίου 30. . . . . . | — |
| » » » τοῦ ἁγίου Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου, Ἰουλίου 4. . | 31 |
| » » » τῆς ἁγίας Μαρίνης, Ἰουλίου 17. | — |
| » » » τῆς ἁγίας Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς, Ἰουλίου 26. . | 32 |
| » » » τῶν Ἁγίων Πάντων. (Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων). . . | 33 |
| » » » τοῦ ἁγίου Κυρίλλου, Ἐπισκόπου Γορτύνης, Ἰουνίου 14. . . | 34 |
| » » » τοῦ ἁγίου μάρτυρος Γοβδελαὰ, Σεπτεμβρίου 29. . . . . | — |
| » » » τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος Ἐπισκόπου Ῥώμης, Νοεμβρίου 24. . . . . . . | 35 |
| » » » τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου καὶ καθηγητοῦ τῆς ἐρήμου, Ἰανουαρ. 17. | 36 |
| » » » τῶν ἁγίων Τεσσάρων Μαρτύρων τῶν ἐν Ῥεθύμνῃ τῆς Κρήτης μαρτυρησάντων, Ὀκτωβρ. 28. | — |